*) τὸ „ὥς“ ἀντὶ τοῦ ὅτι. τὸ δὲ ἑξῆς, ὅτι μοι δοκοῦσιν ὑβρίζοντες ὑπερφιάλως. Q. T. (Dind. p. 736). ind. 14.

241. „νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο.
οἴχετ' ἄιστος ἄπυστος, ἐμοὶ δ' ὀδύνας τε γόους τε κάλλιπεν.“

*) ἀπὸ ἄλλης ἀρχῆς τὸ „οἴχετ' ἄιστος“ κατὰ ἀναφώνησιν. B. T. (Dind. p. 736). ind. 22.

271. „εἰ δ' ἄγε νῦν ξυνίει καὶ ἐμῶν ἐμπάζεο μύθων.“

†) ὅτι τὸ „εἰ δ' ἄγε νῦν ξυνίει“ παρακελευσματικῶς ἔχον δηλοῖ τὸ εἰ δὲ βούλει, ἄγε ποίει τόδε. ἢ καὶ ἄλλως εἶα δὴ ἄγε ποίει τόδε. Eust. 1416, 40. Fluxit ex Nicanoreo fonte, cf. ad *Ι* 45, ω 491. F. N. p. 30: εἴρηται γὰρ ὡς ὁ εἰ σύνδεσμος ἔχει τινὰ δύναμιν παρακελευστικήν, ὡς ἐκεῖ „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν“ — Ω 74 — τοῦ εὐκτικοῦ ἀντὶ προστακτικοῦ κειμένου, ὡς κἀκεῖ „ἐξελθών τις ἴδοι“ (ω 491) ἀντὶ τοῦ ἰδέτω. ἀπρεπὲς γὰρ εὔχεσθαι τὸν Δία. τάχα δὲ καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς παρακελευστικὸν ἐπίρρημα εἶα ἀπὸ τούτου γέγονε περιττεύοντος τοῦ ᾱ. ἄλλως τε καὶ συντάττεται τῷ ἄγε ἐπιρρήματι „εἰ δ' ἄγε νῦν φίλε Φοῖβε“ — Π 667 — οὐδὲν γὰρ πλέον τοῦ ἄγε δή. καὶ ἐνθάδε ἄγε δὴ καὶ οὗτοι φευγέτωσαν. Α. τὸ εἰ παρακελευστικόν φησιν ὁ Νικάνωρ. V.

ind. 10. cf. Ludovici Langii de formula Homerica εἰ δ' ἄγε commentationem, Lipsiae 1873.

274. „μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι,
μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
ἂψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.“

†) δεῖ ὑποστίζειν εἰς τὸ „μητέρα δέ“ καὶ μιμεῖσθαι τὸν διασκεπτόμενον. H et EMQV.

ind. 40. Fortasse etiam de syntaxi ἀνακολούθῳ μητέρα δ' — ἄψ ἴτω dictum erat, cf. schol. in EMQ et Eust. ad hunc locum.

354. „οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο."

†) . . . ὑφ' ἓν δέον ἀναγνωσθῆναι τὸν στίχον „οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ." EH. ἐν Τροίῃ πολλοί: ἀδιαστόλως ἀναγνωστέον. ὁ γὰρ Ὀδυσσεὺς οὐκ ἐν Τροίᾳ ἀπώλετο. QV. ἀδιαστόλως Dindorfius correxit. διαστολῶς Q. διαστολῇ V. ind. 51.

ΕΙΣ ΤΗΝ Β.

10. „βῆ ῥ' ἴμεν εἰς ἀγορήν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
οὐκ οἶος. ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο."

*) τὸ ἑξῆς „βῆ ῥ' ἴμεν εἰς ἀγορὴν οὐκ οἶος." τὰ δὲ ἄλλα διὰ μέσου διορθωτέον. MS. cf. ind. 41.

33. „ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος."

†) ἕως τοῦ „εἶναι" ἡ στιγμή. HQS. εἰς τὸ „ὀνήμενος" λείπει τὸ εἴη, ἀντὶ τοῦ εἴη ὀνηθησόμενος. ἡ δὲ στιγμὴ εἰς τὸ „εἶναι." B. A Nicanore profectum videtur cf. ind. 1[c]. Eust. 1432, 21: καὶ ὀνήμενος εἴη.

45. „ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ,
δοιά."

†) μετὰ τοῦτο ὑποστικτέον SV. — scil. post οἴκῳ. — corr. βραχὺ διασταλτέον ἐπὶ τὸ „οἴκῳ" cf. ad α 40.

†) Ἀρίσταρχος τὸ „δοιά". ἀντὶ τοῦ διχῶς. συναπτέον αὐτὸ τοῖς ἄνω καὶ στικτέον H. ind. 41 et 19. Eust. 1483, 49.

77. „τόφρα γὰρ ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα μύθῳ
χρήματ' ἀπαιτίζοντες, ἕως κ' ἀπὸ πάντα δοθείη."

†) . . . καὶ ἔδει μὲν ἡμᾶς ὑποστίζειν (corr. βραχὺ διαστέλλειν) εἰς αὐτὸ (sc. ποτιπτυσσοίμεθα) τὸ δὲ „μύθῳ" τοῖς ἑξῆς ἀποδιδόναι. ἀλλ' οὐδέποτε ὁ εἰκοστὸς χρόνος τοῦ ἡρωϊκοῦ στιγμὴν ἐπιδέχεται. HMQ. — ind. 54.

Conf. hanc notam cum regula a Bentlejo tradita ad Lucan. I, 231. Porson. — F. N. p. 130: Hoc qui e Nicanore transcripsit et sermonem eius corrupit (nam *ὑποστίζειν* ab eo non ita usurpatum fuisse ostendi ut minimam distinctionem significet) neque ipsam observationem satis fideliter tradidit, nam non utique ab hac interpunctione abstinuisse Nicanorem infra videbimus. Qua de re non numquam hanc versus sedem interpunctionem recipere dixisse putandus est, sed recipere rarissime. p. 136 vir doctissimus exempla collegit, quibus post vicesimam moram interpunctionem a Nicanore admissam esse demonstretur.

96. *„κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς.“*

*) *Διονύσιος ὁ Θρᾷξ ἰδίᾳ μὲν τὸ „κοῦροι,“ ἰδίᾳ δὲ τὸ „ἐμοὶ μνηστῆρες“ διαστέλλει. καὶ ἡμῖν δὲ οὕτω δοκεῖ, ἵν' ᾖ, ὦ νέοι, ἐμοὶ μνηστῆρες. Δημήτριος δὲ ὁ Ἰξίων μετὰ τὴν ἀντωνυμίαν ἔστιξεν, ἵνα, φησί, τὸ ἀπρεπὲς αὐτῶν ὀνειδίζηται.* MQR.

Dionysius *ὁ Θρᾷξ* citatur a Nicanore etiam ad *O* 741. ind. 17.

97. *„μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος*
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον,“

*) *τὸ ἑξῆς „μίμνετε εἰσόκε φᾶρος ἐκτελέσω Λαέρτῃ ἥρωι ταφήιον.“ τὸ δὲ „μή μοι μεταμώνια νήματ' ὄληται“ διὰ μέσου.* M. ind. 41.

115. *„εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν,*
τὰ φρονέουσ' ἀνὰ θυμὸν ἅ οἱ πέρι δῶκεν Ἀθήνη,
ἔργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς
κέρδεά θ', οἷ' οὔ πώ τιν' ἀκούομεν οὐδὲ παλαιῶν,
τάων αἳ πάρος ἦσαν ἐυπλοκάμιδες Ἀχαιαί,
Τυρώ τ' Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη.
τάων οὔ τις ὁμοῖα νοήματα Πηνελοπείῃ
ᾔδη· ἀτὰρ μὲν τοῦτό γ' ἐναίσιμον οὐκ ἐνόησεν.
τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματ' ἔδονται,
ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον, ὅν τινά οἱ νῦν
ἐν στήθεσσι τιθεῖσι θεοί. μέγα μὲν κλέος αὐτῇ
ποιεῖτ', αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο.
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν οὔτε πῃ ἄλλῃ.“

*) „εἰ δ' ἔτ' ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν, ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν." οὕτως τὸ ἑξῆς. τὰ δὲ λοιπὰ διὰ μέσου. δυνατὸν δὲ καὶ Ὁμηρικῷ ἔθει αὐτὸ ἀπολύσασθαι. εἴωθε γὰρ ὁ ποιητὴς τῷ εἰ μηδὲν ἀνταποδιδόναι, οἷον „ἀλλ' εἰ μὲν δώσουσι γέρας." (*Α* 135) HMQ ind. 32 et 41. Eust. 1437, 39.

117. „ἔργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς
κέρδεά θ', οἷ' οὔ πώ τιν' ἀκούομεν οὐδὲ παλαιῶν,
119. τάων αἳ πάρος ἦσαν ἐυπλοκάμιδες Ἀχαιαί,
Τυρώ τ' Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη.
τάων οὔ τις ὁμοῖα νοήματα Πηνελοπείῃ
ᾔδη."

†) 117. ἀπὸ κοινοῦ (δὲ) τὸ „ἐπίστασθαι." MS. Sic Nicanoris verba restituenda sunt: βραχὺ διασταλτέον ἐπὶ τὸ „περικαλλέα" καὶ ἐπὶ τὸ „ἐσθλάς." κοινὸν γὰρ ἐπὶ τὸ ἑξῆς τὸ „ἐπίστασθαι." ind. 43.

†) 119. ἐπανέλαβε τὸν λόγον, ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. „τάων" ἐκείνων τῶν γυναικῶν. MS. ind. 42.

132. „κακὸν δέ με πόλλ' ἀποτίνειν
Ἰκαρίῳ, αἴ κ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
δώσει."

Ad hunc locum habemus haec scholia: κατ' ἔνια τῶν ὑπομνημάτων ἡ τούτων ἐξήγησις ἡμάρτηται. φασὶ γάρ, ἔθος ἦν, εἴ τις ἑκὼν ἐξ οἴκου γυναῖκα ἀπέπεμψε, χρήματα ἀποτίνειν τοῖς ταύτης συγγενέσι καὶ τῷ πατρί. φησὶν οὖν, ὅτι κακόν ἐστι καὶ οἷον ἀλυσιτελές, ἐὰν ἐκδιώξω τῶν οἴκων τὴν μητέρα· πολλὰ γὰρ ἀποτίσω τῷ Ἰκαρίῳ. (Ita de matre sua Demosthenes: καὶ μετὰ ταῦτα τοῦ ἀνδρὸς αὐτῇ τελευτήσαντος, ἀπολιποῦσα τὸν οἶκον καὶ κομισαμένη τὴν προῖκα, πάλιν ἐκδόντων αὐτὴν τῶν ἀδελφῶν — καὶ τὸ τάλαντον ἐπιδόντων, συνῴκησε τῷ ἐμῷ πατρί. Orat. advers. Boeot. II. Ernesti ad hunc locum). Aliam autem huius loci interpretationem addit scholiastes, quam et ipse praefert: Ἄμεινον δὲ οὕτω διαστέλλειν, „κακὸν δέ με πόλλ' ἀποτίνειν." καὶ οὐ περὶ χρημάτων φησίν, ἀλλὰ περὶ τῶν ἐπαγομένων (v. 134) „ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἀλλὰ δὲ δαίμων δώσει." εἶτα καθ' ὑπέρβατον, αἴκ' αὐτὸς Ἰκαρίῳ ἀποπέμψω τὴν μητέρα· ἐπεὶ εἰ περὶ χρημάτων ἔλεγε, σμικρολόγος ἂν ἐφαίνετο. BMV.

Atque hanc explicationem amplexos veteres testatur Eustathius p. 1438, 29: *τὸ δὲ εὐλαβεῖσθαι „πολλὰ ἀποτίνειν Ἰκαρίῳ,“ σμικρολογίας αἰτίαμα φασὶν οἱ παλαιοὶ τῷ Τηλεμάχῳ προσάπτειν. διὸ καὶ θέλουσιν οἱ τοιοῦτοι στίζειν τελείαν ἐν τῷ „πόλλ' ἀποτίνειν.“ καὶ νοοῦσιν αὐτὸ οὐκ ἐπὶ χρημάτων, ἀλλ' ἐπὶ τῆς θεόθεν ποινῆς. κατὰ τὸ σύν τε μεγάλῳ ἀπέτισαν σὺν σφῇσι κεφαλαῖς καὶ ἑξῆς. ἵνα λέγῃ, ὅτι κακὸν δέ με πόλλ' ἀποτίνειν, ὅ ἐστι θεόθεν ποινηλατεῖσθαι, ἐὰν αὐτὸς ἑκὼν τῷ Ἰκαρίῳ ἀποπέμψω ἀέκουσαν τὴν μητέρα. ποῖα δὲ πολλὰ ἀποτίσει; ἐκ τοῦ πατρὸς κακά φησι πείσομαι, ὅ ἐστιν ἐκ τοῦ Ὀδυσσέως, εἰ τυχὸν ἐπανέλθοι. οὕτω γάρ τινες, καὶ οὐκ ἐπὶ τοῦ Ἰκαρίου νοοῦσι τὸ πατρός.*

Praeterea legitur in BEHQ hoc scholion: *ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι: εἰ ἐπανέλθοι ὁ Ὀδυσσεύς. οὐ γὰρ ἀπεγνώκει αὐτὸν παντελῶς. τινὲς δέ, ἐκ γὰρ τοῦ πατρός, τοῦ αὐτῆς πατρός. καὶ στίζουσι τῷ Ἰκαρίῳ.*

Hodie omnes editores primam sequuntur interpretationem, quae et verior — multo enim simpliciore ét faciliore constructione refertur istud *Ἰκαρίῳ* ad *ἀποτίνειν*, quam ad sequentem *ἀποπέμψω*, cumque hoc sensu melius congruit etiam ipsius vocis *ἀποτίνειν* significatio, v. Ernesti et Nitzsch ad hunc locum — et Aristarchi et Nicanoris esse videtur. Nam sic (*ἐκ γὰρ τοῦ πατρὸς, τοῦ αὐτῆς πατρός*) interpretatum esse Aristarchum putaverim collatis Aristonici scholiis ad *Ι* 133. *Β* 576. *β* 206. F. Ar. p. 30. cf. C. Ar. p. 22. (i. e. Aristonici *περὶ σημείων Ὀδυσσείας* reliquiae emendatiores. Edidit Otto Carnuth, Lipsiae 1869). Illud autem *καὶ στίζουσι τῷ Ἰκαρίῳ* corrigendum est in *βραχὺ διασταλτέον ἐπὶ τὸ „Ἰκαρίῳ“* et sic fere supplendum: *ἡ γὰρ ἀνταπόδοσις πρόκειται καὶ ἀνεστραμμένη ἡ περίοδός ἐστιν. ὀρθὴ δ' ἂν ἦν οὕτως, αἴ κ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω, κακόν με πόλλ' ἀποτίνειν Ἰκαρίῳ.* cf. ad *α* 33. ind. 40.

136. *„νέμεσις δέ μοι ἐξ ἀνθρώπων ἔσσεται. ὥς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.“*

*) *ἀθετεῖται μὲν ὑπὸ Ἀριστάρχου, στικτέον δὲ ὅμως μετὰ τὸ „ἔσσεται,“ ἵνα τὸ „ὥς“ κέηται ἀντὶ τοῦ οὕτως.* HM.

Aristonici et Nicanoris adnotationes coniunxit scholiasta. cf. C. Ar. ad *β* 136 et F. N. p. 114. *Χ* 348. ind. 52.

143. „ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι.
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."

*) ἐπὶ τὸ „ἐόντας" στικτέον. ἡ γὰρ ἑξῆς περίοδος καθ' αὑτήν ἐστιν. „αἴκε Ζεὺς δῷσι, νήποινοί κεν ἔπειτα." Q. ind. 33.

148. „τὼ δ' ἕως μὲν ῥ' ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο,
πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν."

*) τὸ „εἵως" ἀντὶ τοῦ τέως. διὸ οὐδὲ ὑποστιγμὴν ἀποτελεῖ, ἀλλὰ στιγμὴν τῷ „πτερύγεσσιν." HMS. ind. 7. Eust. 1438, 48: οἱ ἕως μὲν ἀντὶ τοῦ τέως καὶ μέχρι τινὸς ἐπέτοντο ...

171. „καὶ γὰρ ἐκείνῳ φημὶ τελευτηθῆναι ἅπαντα
ὥς οἱ ἐμυθεόμην, ὅτε Ἴλιον εἰςανέβαινον
Ἀργεῖοι, μετὰ δέ σφιν ἔβη πολύμητις Ὀδυσσεύς.
φῆν κακὰ πολλὰ παθόντ', ὀλέσαντ' ἄπο πάντας ἑταίρους."

*) συναπτέον ἕως τοῦ „πολύμητις Ὀδυσσεύς." δύναται δέ τις καὶ ἐπὶ τὸ „ἐμυθεόμην" στίζειν, τοῖς ἄνω αὐτὸ ἀποδιδούς, καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν „ὅτε Ἴλιον ἐσανέβαινον," ἵνα ὑποστίζωμεν μετὰ τὸ „Ἀργεῖοι" καὶ „Ὀδυσσεύς," ἡ δὲ ἀπόδοσις, „φῆν κακὰ πολλά." EQSV. ind. 39.

178. „ὦ γέρον, εἰ δ' ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν."

Adnotatio videtur fuisse de „εἰ δ' ἄγε νῦν," cuius iam profero vestigia: τὸ εἶα καὶ ἄγε καὶ φέρε ἐπιρρήματα παρακελευσματικά. τὸ εἰ ἀντὶ τοῦ εἶα. B. ἔστι δὲ κἀνταῦθα τὸ „εἰ δ' ἄγε δή" παρακελευσματικὸν ὃς πολλαχοῦ ἐφάνη. Eust. 1440, 24. — ind. 10.

182. „αὐτὰρ Ὀδυσσεὺς
ὤλετο τῆλ', ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνῳ || ὤφελες."

*) τὸ „ὡς" ἀναφορικόν ἐστι, καὶ συναπτέον αὐτὸ τοῖς ἐπάνω. ἢ ἀντὶ τοῦ εἴθε, καὶ ἀπὸ ἄλλης ἀρχῆς αὐτὸ ἀναγνωστέον. QV. ind. 11.

232. „ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι·
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν."

*) βραχὺ διασταλτέον ἐπὶ τὸ „ῥέζοι." τὸ γὰρ „ὡς" ἀντὶ τοῦ ὅτι ἐστίν. Q. T. (Dind. p. 741) ὅτι οὕτως potius dici debuisse censet Lehrsius Aristarch. p. 162. maleque nunc scribi ὥς, recte ὡς ε 11, ubi haec verba repetuntur. Dindorfius utrobique ὥς praetulit cum plena post ῥέζοι interpunctione, quam probat schol. ad ε 11 et Friedlaenderus Nic. p. 35 not. 7: Nicanoris enim est schol. Q. Sed idem versus redit ε 11, ubi Palat. hanc eius adnotationem servavit: ἄμεινον ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, ἵν' ᾖ θαυμαστικόν. Nimirum utrobique utraque explicandi ratio ab eo admissa, ab epitomatoribus autem hic una illic altera quasi sola posita esse videtur. ind. 14. 40.

239. „νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες
ἧσθ' ἄνεῳ."

†) τὸ δὲ „οἷον ἅπαντες" θαυμαστικῶς εἴρηται, ὡς καὶ πρὸ τούτου τὸ „οἷον ἀναΐξας ἄφαρ οἴχεται" — α 410 — καὶ, „οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται." — α 32. — Eust. 1443, 17. ind. 15.

260. Τηλέμαχος δ' ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
χεῖρας νιψάμενος πολιῆς ἁλός, εὔχετ' Ἀθήνῃ.

*) εἰ κατὰ δοτικὴν γράφεται τὸ „θινί," βραχὺ διαστελοῦμεν ἐπὶ τὶ „ἰών" καὶ τὰ ἑξῆς συνάψομεν. εἰ δὲ διὰ τοῦ α, ὡς Δίδυμός φησι γράφειν Ἀρίσταρχον, μετὰ τὸ „θαλάσσης" διαστελοῦμεν. βραχὺ δὲ διασταλτέον καὶ μετὰ τὸ „ἁλός." HMQRS. ind. 47 et 50.

270. „Τηλέμαχ', οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων,
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ,
οἷος ἐκεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε."

*) ὁ στίχος (271) καὶ τοῖς ἑπομένοις καὶ τοῖς ἡγουμένοις δύναται συνάπτεσθαι. MS. ind. 19.

278. „ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι οὐδ' ἀνοήμων,
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα."

*) ἐπὶ τὸ „ἀνοήμων" ὑποστικτέον, ἐπὶ δὲ τὸ „προλέλοιπεν" ἢ ὑποστικτέον ἢ στικτέον. Q. ind. 34. 39.

289. „*οπλισσόν τ' ἦια καὶ ἄγγεσιν ἄρσον ἅπαντα, οἶνον ἐν ἀμφιφορεῦσι.*“

*) *στικτέον (δὲ) μετὰ τὸ „ἦια,“ μετὰ δὲ τὸ „ἅπαντα“ βραχὺ διασταλτέον, καὶ μετὰ τὸ „ἀμφιφορεῦσιν.*“ MQS. ind. 29.

314. „*νῦν δ' ὅτε δὴ μέγας εἰμί, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός, πειρήσω ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω,*“

*) *τὸ ἑξῆς, „νῦν δ' ὅτε δὴ μέγας εἰμί, πειρήσω ὥς κ' ὔμμι.*“ BS. [*τὰ δὲ ἄλλα διὰ μέσου διορθωτέον*]. ind. 41.

321. „*ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσατ' Ἀντινόοιο.*“

ὅτι σχῆμα ἀμφιβολίας τὸ „ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο ῥεῖα.“ ἄδηλον γὰρ εἴτε τὴν ἑαυτοῦ ὁ Τηλέμαχος χεῖρα τῆς Ἀντινόου ἐξέσπασεν, εἴτε ἀνάπαλιν. (διατί δὲ ἐξέσπασεν; ἢ διότι γελῶν ὁ Ἀντίνοος ἐδεξιώσατο ἐμφὺς τῇ τοῦ Τηλεμάχου χειρὶ ὡς προείρηται, ἢ καὶ ὡς δεδιὼς μὴ ἐπιβούλως ἅπτηται τῆς χειρός· τὸ δὲ ῥεῖα τὴν τοῦ νεανίου ἐμφαίνει ῥωμαλεότητα.) Σημείωσαι δὲ ὅτι καὶ ἐν Ἰλιάδι ἐκ χειρῶν ἀμφιβολίας γίνεται σχῆμα ἐν τῷ „χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου· ἔνθα οὐ σαφὲς εἴτε τὰς ἑαυτοῦ χεῖρας ὁ Ἀχιλλεὺς τοῖς τοῦ Πατρόκλου ἐπέθετο στήθεσιν, εἴτε καὶ ἀνάπαλιν τὰς ἐκείνου τοῖς ἑαυτοῦ. Eust. 1448, 14. Haec certe fluxerunt ex Nicanore — quae uncis signavi aliena sunt — cf. ad Σ 317: *ἀμφίβολον, πότερον τὰς ἑαυτοῦ ἀνδροφόνους χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρου στήθει, ἢ τὰς τοῦ ἀνδροφόνου Πατρόκλου ἐπιθεὶς τῷ ἰδίῳ στήθει. βέλτιον δὲ τὸ πρότερον.* cf. Aristonicum ad h. l. F. N. p. 109. ind. 46.

414. „*οἱ δ' ἄρα πάντα φέροντες ἐυσσέλμῳ ἐπὶ νηί κάτθεσαν.*“

*) *βραχὺ διασταλτέον μετὰ τὸ „φέροντες.*“ H. ind. 47.

430. „*δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν στήσαντο.*“

*) *βραχὺ διασταλτέον ἢ μετὰ* [*τὸ*] „*ὅπλα,*“ *ἢ μετὰ τὸ „νῆα μέλαιναν.*“ H. — ind. 47. —

ΕΙΣ ΤΗΝ Γ.

34. „οἱ δ' ὡς οὖν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,“

*) μετὰ τὸ „ἴδον“ ἡ ὑποστιγμὴ παράσημος· οὐδέποτε γὰρ τὸ ἔπος εἰς δύο διαιρεῖται τῇ στιγμῇ, ὅ ἐστιν εἰς τὸν ιβ' χρόνον. HM. cf. F. N. p. 129. Lehrs, Fleckeisens Jahrbücher 1860. p. 526 sq. ind. 54.

45. „αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἣ θέμις ἐστίν,
δὸς καὶ τούτῳ ἔπειτα.“

*) ὑποστικτέον κατὰ τὸ „ἣ θέμις ἐστί.“ δύναται δὲ καὶ τοῖς ἑξῆς συνάπτεσθαι τὸ „ἣ θέμις ἐστίν,“ ὑποστιζόντων ἐπὶ τοῦ „εὔξεαι.“ HM. — ind. 35.

103. „ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος, ἣν ἐν ἐκείνῳ
δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
πλαζόμενοι κατὰ ληίδ', ὅπῃ ἄρξειεν Ἀχιλλεύς,
ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος

108. μαρνάμεθ'. ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
ἔνθα μὲν Αἴας κεῖται ἀρήιος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ' ἐμὸς φίλος υἱός, ἅμα κρατερὸς καὶ ἀμύμων,
Ἀντίλοχος, πέρι μὲν θείειν ταχὺς ἠδὲ μαχητής.

113. ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά. τίς κεν ἐκεῖνα
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;

115. οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί.
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.“

Videtur fuisse adnotatio de ἐπεί superfluo, cum apodosis post hanc coniunctionem elliptice sit omissa cf. N. ad Ω 42. δ 204. ζ 187. F. N. p. 61. ind. 31. In nostris scholiis haec frustula leguntur: 103. οὐκ ἀποδίδωσι τὸ „ἐπεί.“ (corr. ut ζ 187 οὐδὲν ἀποδίδωσι τῷ „ἐπεί“) ὁ ποιητής. καὶ ἐπὶ τοῦ Μενελάου „ὦ φίλ', ἐπεὶ τόσα εἶπες“ — δ 204 — Ὁμηρικὸν δέ ἐστι τὸ ἔθος. HM.

Non recte *ἐπὶ τοῦ Μενελάου* dictum est. Nam verba allata δ 204 non de Menelao dicuntur, sed ipsius sunt Menelai ad Pisistratum verba: ut dicendum potius fuerit *καὶ Μενέλαος ἐπὶ τοῦ Πεισιστράτου*. Dindorf. — *τὸ „ἐπεὶ" ἐνταῦθα βεβαιωτικὸν καὶ ἀργόν. οὐ γὰρ ἀποδίδοται Ὁμηρείῳ ἔθει*. B. Eust. 1458, 60. Alii apodosin incipere statuerunt a versu 113, alii a versu 115. v. schol. in EMQ et HMQ.

126. *„ἔνθ' ἦτοι εἵως μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς*
οὔτε ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῇ."

†) *τὸ ἀναφορικὸν ἀντὶ τοῦ ἀνταποδοτικοῦ τοῦ τέως*. MPQ. Eust. 1460, 21: *ἐν τούτοις δὲ κεῖται καὶ τὸ „ἕως" ἀντὶ τοῦ τέως, καθὰ καὶ ἀλλαχοῦ. φησὶ γάρ, ἔνθ' ἦτοι εἵως μὲν ἐγὼ καὶ Ὀδυσσεὺς ταῦτα ἐποιοῦμεν*. ind. 7.

137. *„τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιούς,*
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα -
οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν -
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν."

†) *οὗτος ὁ στίχος* (139) *διὰ μέσου*. B. *οὕτω τὸ ἑξῆς· τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιοὺς μῦθον μυθείσθην τοῦ εἵνεκα λαὸν ἄγειραν μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐς ἠέλιον καταδύντα. οἱ γὰρ ἦλθον οἴνῳ βεβαρηκότες. Ἄλλως. τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς ἠέλιον καταδύντα μάψ, ἀτὰρ οὐ κατὰ κόσμον (οἱ γὰρ ἦλθον οἴνῳ βεβαρηκότες) μῦθον μυθείσθην*. Q.

cf. F. N. p. 78. Frustula sunt Nicanoreae adnotationis, sic fere restituendae: *οὗτος ὁ στίχος διὰ μέσου. διόπερ διαστέλλομεν ἐπὶ τὸ „καταδύντα," στίζομεν δὲ ἀνυποκρίτως ἐπὶ τὸ „Ἀχαιῶν."* ind. 41.

230. *„Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων."*

Ex Eust. adnotatione 1465, 3: *ἐνταῦθα μέντοι θεραπεύει τὴν λήγουσαν τῆς κλητικῆς τοῦ Τηλεμάχου οὐ μόνον ἡ στιγμὴ καὶ τὸ ἐπαγόμενον π, ἀλλὰ καὶ ἡ περισπωμένη τοῦ „ποῖόν σε ἔπος φύγεν," ὡς ἡ δύναμις ἔχει τῆς κοινῆς συλλαβῆς. καθ' ἣν δύναμιν καὶ ἡ στιγμὴ χαρίζεταί τι χρόνου τῷ πρὸ αὐτῆς βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι καὶ τὰ ἐν ἀρχῇ λέξεων ἄφωνα, ὡς πεφυκότα διπλοῦσθαι* — facile colligeris Nicanoris scholium fuisse: *μετὰ τὸ „Τηλέμαχε" δεῖ στίζειν, ἐπεὶ αἱ προσαγορευτικαὶ*

τῶν περιόδων αὐτοτελεῖς εἰσιν. καὶ ἵνα διὰ τῆς σιωπῆς τοῦ χρόνου τὸ μέτρον σώζηται. cf. ind. 16 et 53 et Nitzsch, erklaerende Anmerkungen zu Homers Odyssee p. 174.

ΕΙΣ ΤΗΝ Δ.

78. „τέκνα φίλ', ἤτοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι."

*) μετὰ τὴν προσφώνησιν (corr. προσαγόρευσιν) στικτέον. μετὰ τὸ „Ζηνὶ" βραχὺ διασταλτέον. οὕτω γὰρ τὰ ἑξῆς σαφέστερα. Q. ind. 16. 45.

97. „ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
ναίειν, οἱ δ' ἄνδρες σόοι ἔμμεναι οἳ τότ' ὄλοντο."

†) τὸ ἑξῆς, ὄφελον ἐγὼ ναίειν καὶ οἱ ἄνδρες σόοι ἔμμεναι. τὸ „ὄφελον" ἀπὸ κοινοῦ λαμβάνων διήλλαξε καὶ περὶ πρόσωπον καὶ ἀριθμόν. HM.

In hoc adnotationis frustulo is qui transcripsit Nicanoris dictionem corrupit, qui sic fere adnotavit: διαστολὴ βραχεῖα ἐπὶ τὸ „ναίειν." κοινὸν γὰρ τὸ „ὄφελον," ἵν' ᾖ τὸ ἑξῆς „ὄφελον ἐγὼ ναίειν καὶ οἱ ἄνδρες σόοι ἔμμεναι." ind. 43.

102. „ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι."

*) μετὰ τὸ „γόῳ" βραχὺ διασταλτέον. HM. ind. 45.

„ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον
109. κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται."

*) μετὰ τὸ „κείνου" βραχὺ διασταλτέον. HM. ind. 40.

131. „χρυσέην τ' ἠλακάτην τάλαρόν θ' ὑπόκυκλον ὄπασσεν
ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο."

†) ἀφ' ἑτέρας δὲ ἀρχῆς τὸ ἔπος ἀναγνωστέον. MQ. A Nicanore profectum videtur scholion et sic fere restituendum: βραχὺ διασταλτέον ἐπὶ τὸ „ἠλακάτην." κοινὸν γὰρ τὸ „ὄπασσεν." τὸ δὲ „χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο" ἀφ' ἑτέρας ἀρχῆς. ἀσύνδετος γὰρ ὁ λόγος. διὸ καὶ τελείαν στικτέον ἐπὶ τὸ „ἀργύρεον." cf. F. N. p. 21 et 82. ind. 43.

141. „οὐ γάρ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
οὔτ' ἄνδρ' οὔτε γυναῖκα — σέβας μ' ἔχει εἰσορόωσαν —
ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷι ἔοικεν."

*) τοῦτον (143) ἡ συνήθεια τοῖς ἄνω συνάπτει. δύναται δὲ καὶ θαυμαστικῶς ἀναγινώσκεσθαι, θαυμαστικοῦ ὄντος τοῦ λόγου. HMQ. ind. 15.

149. „κείνου γὰρ τοιοίδε πόδες τοιαίδε τε χεῖρες
ὀφθαλμῶν τε βολαὶ κεφαλή τ' ἐφύπερθέ τε χαῖται."

*) καθ' ἓν (δὲ) διασταλτέον „πόδες," „χεῖρες," „βολαί." M. ind. 45.

204. „ὦ φίλ', ἐπεὶ τόσα εἶπες."

†) περιττεύει ὁ „ἐπεί," ὡς καὶ ἐν τῷ „ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος" (γ 103). τὸ ἑξῆς ἐστιν „ἐπεὶ τόσα εἶπες, ἡμεῖς δὲ κλαυθμὸν μὲν" (212), περιττεύοντος τοῦ συνδέσμου. Q. — ind. 31.

Cf. γ 103 et F. N. p. 61: A Nicanore etiam profectum videtur ab τὸ ἑξῆς — τοῦ συνδέσμου. Eust. 1491, 49, ex eodem fonte hauriens habet: ὅτι καθάπερ ἐν τῷ „ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος," μακροαπόδοτος ἡ σύνταξις καὶ ὑποδύσκολος, οὕτω καὶ νῦν ἐν τῷ „ὦ φίλ', ἐπεὶ τόσα εἶπες" καὶ ἑξῆς. μετὰ ὀκτὼ γὰρ στίχους ἀποδέδοται τὸ ἀκόλουθον τῆς συντάξεως ἐν τῷ „ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν." νοουμένου τοῦ δὲ συνδέσμου ἀντὶ τοῦ δή. ἰστέον δὲ ὅτι κατὰ παλαιὰν παρατήρησιν ἐν πολλοῖς εὑρίσκεται καὶ μάλιστα παρὰ τῷ ποιητῇ ὁ ἐπεὶ σύνδεσμος δυσαπόδοτος κατὰ σύνταξιν, ὅτε καθὰ καὶ ἄλλαι λέξεις, οὕτω καὶ αὐτὸ κεῖσθαι δοκεῖ ἐκ περισσοῦ.

222. „ὅς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη,"

*) ὑποστικτέον εἰς τὸ „μιγείη." H. ind. 38.

240. „πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι.
ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνήρ."

*) Παρμενίσκος ἐψίλου τὸ „οἷον," ἵν' ᾖ, τοῦτο μόνον ἐρῶ. ἄμεινον δὲ θαυμαστικῶς ἀναγινώσκειν. HPQ. — ind. 15. —

Parmeniscus citatur a Nicanore etiam ad *E* 638. *Σ* 515; Lentzius hoc scholium Herodiano attribuit, quem v. ad *E* 638 et hunc locum.

244. „*αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,*
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, οἰκῆι ἐοικώς
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν."

†) *τὸ δὲ „δαμάσας" καὶ „ἀμφιβαλὼν" καὶ „ἐοικὼς" συχναὶ ἀσύνδετοι μετοχαὶ οὐκ ἀσυνήθεις τῷ ποιητῇ.* Eust. 1494, 47.

Talia singula sententiarum membra *ἀσυνδέτως* prolata inter se discernenda esse sexcenties Nicanor cum praescribat — cf. F. N. p. 98. — colligeris hoc etiam loco scholium fuisse: *βραχὺ διασταλτέον τὸ „δαμάσσας," „ἀμφιβαλὼν," „ἐοικώς." μᾶλλον γὰρ ἐμφαίνει ἕκαστον συμβεβηκὸς ἰδίᾳ λεγόμενον.* ind. 50.

247. „*ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤισκεν,*"

†) *ἀπὸ κοινοῦ τὸ „αὐτόν," ἵν' ᾖ, κατακρύπτων νῦν ἑαυτὸν ἤισκεν αὐτὸν ἄλλῳ φωτὶ καὶ οὐκ Ὀδυσσεῖ.* HMQ. fluxit fortasse ex Nicanore. cf. F. N. p. 82. ind. 43.

269. „*ἀλλ' οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν*
οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ."

*) *θαυμαστικὸς ὁ λόγος, εἰ χωρίζοιτο, ὁμοιωτικὸς δέ, εἰ τοῖς ἄνω συνάπτοιτο· ὃ καὶ ἄμεινον.* HQ. *εἰ τοῖς ἄνω* corr. Friedlaenderus N. p. 36, *εἴ τις ἄνω* HQ. ind. 15.

„*τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,*
ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
279. *πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.*"

*) *τοῦτο — „πάντων Ἀργείων" — ἑκατέροις δύναται προσδίδοσθαι, μᾶλλον δὲ τοῖς ἄνω, ἵνα μὴ ἀλογώτερον γένηται τὸ ζήτημα. οὐ δυνατὸν γὰρ ταῖς ἁπάντων γυναιξὶν ὁμοφωνῆσαι, ἀλλὰ ταῖς τῶν ἀριστέων, αἷς καὶ ἐν ἔθει ἐτύγχανεν.* BHMQ.

Friedlaenderus N. p. 91 *προσδίδοσθαι* correxit pro *προδίδοσθαι*. ind. 19 et 46. Eust. 1496, 41: *ἐν δὲ τῷ „πάντων Ἀργείων" ἢ ἔοικε παρέλκειν τὸ „πάντων" διὰ τὸ καὶ ἀπίθανον καὶ ἀδύνατον εἶναι τὸ λεγόμενον. ἢ καὶ ἄλλως πάντας Ἀργείους κἀνταῦθα λέγει, οὓς καὶ ἀνωτέρω εἶπεν ἐν τῷ „ἐνήμεθα πάντες*

ἄριστοι" καὶ κατωτέρω δὲ ἐν τῷ „ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν." ἔχει δέ τι καὶ ἀμφίβολον ὁ τόπος οὗτος. οὐ γὰρ μόνον δύναται νοεῖσθαι φωνὴ ὁμοία ταῖς ἀλόχοις πάντων Ἀργείων, ἀλλὰ καὶ ἄλλως, ὅτι ὠνόμαζες ἀρίστους πάντων Ἀργείων.

297. „Ἑλένη δμῳῇσι κέλευσεν
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλά
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας."

*) καθ' ἕκαστον βραχὺ διασταλτέον, „θέμεναι," „βαλέειν," „τάπητας." H. ind. 44.

342. „τοῖος ἐὼν οἷός ποτ' ἐυκτιμένῃ ἐνὶ Λέσβῳ —
345. τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς."

†) ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο, ἐπανέλαβε τὸ „τοῖος ἐών." H. cf. β 119. ind. 42.

347. „ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
ἄλλα παρὲξ εἴποιμι παρακλιδόν, οὐδ' ἀπατήσω."

*) τὸ ἑξῆς,[1] ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι εἴποιμι ἔγωγε, οὐκ ἄλλα παρακλιδόν. τὸ „παρακλιδὸν" ἄμεινον τοῖς ἄνω συνάπτειν, διὰ τὸ ὑπέρβατον. EHPQ. ind. 20.

363. „καί νύ κεν ἤια πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν,
εἰ μή τίς με θεῶν ὀλοφύρατο καὶ μ' ἐσάωσεν,
Πρωτέος ἰφθίμου θυγάτηρ, ἁλίοιο γέροντος,"

*) βραχὺ διασταλτέον ἐπὶ τὸ „ὀλοφύρατο," εἰ μὴ ἄρα στικτέον καὶ ἀφ' ἑτέρας ἀρχῆς τὰ ἑξῆς. EQ. ind. 27. 44.

373. „ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι,"

†) θαυμαστικὸς ὁ λόγος, ἐὰν καθ' αὑτὸ τὸ ἡμιστίχιον προάγωμεν.[2] E.

Haec verba Nicanoris non sunt, sed qui ea scripsit Nicanoris sententiam ad *K* 116 etc. propositam ante oculos habuit, cf. FN. p. 16. ind. 15. Sic fere Nicanor scripsit: καθ' ἑαυτὸ ἀναγνωστέον τὸ „ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι" ἐν θαυ-

---

1) τὸ ἑξῆς addidit Dindorfius ex H. — 2) προάγωμεν Friedlaenderus N. p. 36. προσάγωμεν E.

μασμῷ, ἢ τοῖς ἄνω συναπτέον, „νήπιός εἰς ἠὲ ἑκὼν μεθίεις ὡς ἐρύκεαι.“

384. „πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής.“

†) ἀντὶ τοῦ ἀναστρέφεται. κατὰ Ἀττικούς, ἐπιφοιτᾷ. ἐξέτεινε δὲ τὸ ο μικρὸν διὰ τὸ μέτρον. BE. καὶ ἐν Ἰλιάδι (Δ 231) ἐπὶ τῆς αὐτῆς σημασίας τῇ λέξει χρῆται „πεζὸς ἐὼν ἐπιπωλεῖται.“ καὶ τὸ „δεῦρο“ δὲ εἰς τοῦτον τὸν τόπον. EQ. Fluxerunt haec ex Nicanore: cf. F. N. ad Δ 153: „οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων || δεῦρο μαχησόμενος“: βέλτιον ἐπὶ τὸ „δεῦρο“ διαστέλλειν, ἵν' ᾖ „ἤλυθον δεῦρο,“ ἢ τῷ „μαχησόμενος“ συνάπτειν αὐτό, ἐπεὶ σόλοικόν ἐστι, τὴν εἰς τόπον σχέσιν δηλοῦντος τοῦ ἐπιρρήματος. δύναται δ' ἴσως τις λέγειν ὡς καὶ τὴν ἐν τόπῳ σχέσιν δηλοῖ ἐν Ὀδυσσείᾳ „πωλεῖταί τις δεῦρο γέρων ἅλιος“ — δ 384 — σημαίνει δὲ ἀντὶ τοῦ ἀναστρέφεται ἐν τούτῳ τῷ τόπῳ. βέλτιον δέ ἐστι τὸ πρότερον, ἐπεὶ καὶ ἐκεῖ τὴν εἰς τόπον σχέσιν μᾶλλον δηλοῖ, ἀντὶ τοῦ παραγίνεται πολλάκις ἐνθάδε. De σημαίνει ἀντί v. Lehrs. Herodian. 451 not.

416. „αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.“

*) βραχὺ διασταλτέον ἐπὶ τὸ „ἔχειν,“ πρὸς τὸ σαφέστερον HQ. ind. 45.

428. „αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ.“

*) ὑποστικτέον εἰς τὸ „θάλασσαν,“ καὶ „ὁπλισάμεσθα,“ καὶ „ἀμβροσίη νύξ.“ Q. ind. 39.

465. „οἶσθα, γέρον· τί με ταῦτα παρατροπέων ἀγορεύεις;
ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκομαι.“

*) τὸ ἑξῆς „οἶσθα ὡς δὴ δηθὰ ἐν νήσῳ ἐρύκομαι,“ τὰ δὲ ἄλλα διὰ μέσου διορθωτέον. PQT. ind. 41.

473. „ῥέξας ἱερὰ κάλ' ἀναβαινέμεν.“

*) βραχὺ διασταλτέον πρὸς τὸ „καλὰ“ διὰ τὸ σαφέστερον P. ind. 45. 47.

„ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
487. ἦ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
ἦέ τις ὤλετ' ὀλέθρῳ ἀδευκέι ἧς ἐπὶ νηός
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν."

*) ταῦτα (v. 487) ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον, ἵν' ὁ πρότερος σύνδεσμος ἀντὶ τοῦ ἆρα διαπορητικοῦ κέηται. ἢ συναπτέον, ἵνα ὁ „ἢ" σύνδεσμος ἀντὶ συναπτικοῦ κέηται τοῦ εἰ. Q. ἵνα ᾖ ὁ Q. correxit Friedlaenderus N. p. 32. ind. 12.

534. „τὸν δ' οὐκ εἰδότ' ὄλεθρόν ἀνήγαγε, καὶ κατέπεφνεν."
*) στικτέον εἰς τὸ „ἀνήγαγε" P. — ind. 29.

„καὶ κατέπεφνεν
535. „δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ."
*) βραχὺ διασταλτέον εἰς τὸ „δειπνήσας." P. — ind. 40.

555. „υἱὸς Λαέρτεω Ἰθάκῃ ἔνι οἰκία ναίων."
*) ἀπὸ κοινοῦ τὸ „κατερύκεται εὐρέι πόντῳ." — v. 553. — PQ. [διόπερ] στικτέον [αἰτήματι] εἰς τὸ τέλος τοῦ στίχου P. ind. 26.

„ἐν δ' Ἰθάκῃ οὔτ' ἂρ δρόμοι εὐρέες οὔτε τι λειμών.
606. αἰγίβοτος, καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο."

†) ἀπὸ ἄλλῆς (δὲ) ἀρχῆς τοῦτο, ἵν' ᾖ, καίτοι αἰγίβοτος οὖσα, τῆς ἱπποτρόφου ἐμοὶ μᾶλλον ἐπέραστος. BEHPQ.

Hoc adnotamentum ex Nicanore fluxisse evincunt exempla a Friedlaendero p. 25 sq. collata. ind. 1. Eust. 1511, 16: τὸ δὲ „αἰγίβοτος" ἀσυνδέτως ἔφη. ὡς οἱονεὶ λέγων ὅτι αἰγίβοτος γάρ ἐστιν.

611. „αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις·
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω. δύναμαι γάρ."

*) τὸ „οἷ' ἀγορεύεις" καθ' ἑαυτὸ προοιστέον. μᾶλλον γὰρ οὕτως ἐμφαίνει ὁποῖα ἀγορεύεις. P. iisdem fere verbis ad Σ 262. usus est N. — ind. 15.

627. „ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον."
†) Ἀρίσταρχος διαστέλλει μετὰ τὸ „ὅθι περ πάρος," ἵν' ᾖ τὸ ἑξῆς, μνηστῆρες δὲ ὕβριν ἔχοντες. P. Dindorfius addidit περ

πάρος. Non post *ὅθι*, sed post *ὅθι περ πάρος* distinguere debuit Aristarchus, si *ἔχοντες* legit. *ἔχοντες* La Roche in textum recepit cum codd. DL, cet. *ἔχεσκον*. ind. 47.

642. *„νημερτές μοι ἔνισπε, πότ' ᾤχετο, καὶ τίνες αὐτῷ*
κοῦροι ἕποντ'; Ἰθάκης ἐξαίρετοι, ἦ ἑοὶ αὐτοῦ
θῆτές τε δμῶές τε;"

*) *στικτέον μετὰ τὸ „ἕποντο," τὰ δὲ ἑξῆς ἐν πεύσει ἀναγνωστέον.* P. cf. ad *K* 61. — ind. 21.

„αὐτὸς ἑκὼν οἱ δῶκα. τί κεν ῥέξειε καὶ ἄλλος,
650. *ὁππότ' ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ*
αἰτίζῃ; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη."

†) *τὸ* (*δὲ*) *„ὁππότε ἀνὴρ" ἀφ' ἑτέρας ἀρχῆς.* P. Collato adnotamento ad *Δ* 351, qui locus huic simillimus est, intelligitur Nicanorem hoc fere modo de his versibus disputavisse: *ἀμφίβολος ἡ ἀνάγνωσις. ἤτοι γὰρ εἰς τὸ „ἄλλος" διαστολή, στιγμὴ δὲ τελεία εἰς τὸ „αἰτίζῃ." ἢ εἰς τὸ „ἄλλος" τελεία στιγμή, ἵν' ᾖ τὸ „ὁππότε ἀνὴρ" ἀφ' ἑτέρας ἀρχῆς, ὑποστιγμὴ δὲ εἰς τὸ „αἰτίζῃ." ὃ καὶ βέλτιον, ἵνα λέγῃ τότε χαλεπὸν εἶναι ἀνήνασθαί δόσιν, ὁππότ' ἀνὴρ τοιοῦτος αἰτίζῃ.* Quo ex adnotamento scholiastes quasi summas tantummodo attingens excerpsit illud: *τὸ „ὁππότε ἀνὴρ" ἀφ' ἑτέρας ἀρχῆς.* ind. 30. 40.

655. *„ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον."*

*) *μετὰ τὸ „θαυμάζω" στικτέον πρὸς τὴν ἔμφασιν.* P. [*ἵν' ἀπ' ἄλλης ἀρχῆς ᾖ τὸ „ἴδον ἐνθάδε Μέντορα δῖον." ἀσύνδετος γὰρ ὁ λόγος.*] — ind. 23.

665. *„ἐκ τόσσων δ' ἀέκητι νέος παῖς οἴχεται αὔτως,"*

*) *ταῦτα ἀφ' ἑτέρας ἀρχῆς προενεκτέον μετὰ ἤθους καὶ ἐρωτήσεως· μᾶλλον γὰρ οὕτως ἐμφαίνει τὴν ἀγανάκτησιν. τὸ ἑξῆς οὕτως, ἐκ τόσσων δ' ἀέκητι οἴχεται. τὸ δὲ „ἀέκητι" ἐπὶ τῆς προαιρέσεως αὐτῶν κεῖται.* PQ. *προενεκτέον* Buttmannus pro *προσενεκτέον*. ind. 15.

684. *„μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,*
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν."

†) *τινὲς δ' ἐνταῦθα δυὸ τελείας ἐννοίας ἐνόησαν· μίαν μὲν ἐλλειπτικὴν ἐν τῷ πρώτῳ στίχῳ, ἵνα λέγῃ „μὴ μνηστεύσαντες*

εἶεν“ καὶ ἑξῆς. ἑτέραν δὲ τὸ „ὕστατα δειπνήσειαν.“ καὶ ἔστι φασὶν ἡ τοῦ πρώτου στίχου ἔλλειψις, συγκεχυμένης καὶ ἀγωνιώσης ψυχῆς. Eust. 1514, 1. Inter hos quin Nicanor fuerit et sic distinxerit non dubito. Et hoc fere modo scripsisse putandus est: στικτέον κατὰ τὸ τέλος τοῦ στίχου. λείπει γὰρ τὸ εἶεν ῥῆμα εὐκτικόν. τὸ δὲ ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς. ind. 1ᵉ.

690. „οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
ἐν δήμῳ· ἥ τ' ἐστὶ δίκη θείων βασιλήων.“

*) βέλτιον τὸ „ἐν δήμῳ“ τοῖς ἄνω προσδίδοσθαι. BEPQ. ind. 19.

712. „οὐκ οἶδ' ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον.“

*) „ἤ τίς μιν“ Ἀρίσταρχος διὰ τοῦ η. (alii εἴ τίς μιν) καὶ γίνεται ἡ στιγμὴ ἀμφίβολος. εἰ μὲν γὰρ διαζευκτικὸς εἴη, στικτέον πρὸ αὐτοῦ καὶ βαρυντέον τὸν ἑπόμενον, εἰ δὲ ἀντὶ τοῦ συναπτικοῦ κέοιτο τοῦ εἰ, βραχὺ διασταλτέον πρὸ αὐτοῦ. HPQ. ind. 12.

724. „ἣ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.“

*) βραχὺ διασταλτέον μετὰ τὸ „θυμολέοντα,“ καὶ „Δαναοῖσι,“ καὶ „ἐσθλόν.“ P.

Quamquam v. 726 obelo notavit Aristarchus — cf. C. Ar. ad δ 726 — tamen Nicanor distinxit ut β 137. ind. 50. 52.

750. „ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
εὔχε' Ἀθηναίῃ κούρῃ Διὸς αἰγιόχοιο.“

*) βραχὺ διασταλτέον εἰς τὸ „ὑδρηναμένη,“ „ἑλοῦσα,“ „γυναιξί“ πρὸς τὸ σαφέστερον. P. — ind. 45. 50. Eust. 1516, 50: ὅρα δὲ τὰς ἀσυνδέτους κἀνταῦθα μετοχὰς καὶ τὰ γοργὰ κομματικά, τὸ „ὑδρηναμένη, καθαρὰ εἵματα ἑλοῦσα, εἰς ὑπερῷ' ἀναβᾶσα.“

„κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη.
763. εἴ ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρί' ἔκηεν,
τῶν νῦν μοι μνῆσαι.“

*) τὸ δίστιχον — 763. 764 — τοῖς ἑξῆς συνάπτειν βέλτιον. P. — ind. 21.

„δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
775. πάντας ὁμῶς, μή πού τις ἐπαγγείλῃσι καὶ εἴσω.“

*) τὸ „πάντας“ τοῖς ἄνω συναπτέον. ἐμφαίνει δὲ καὶ τοῖς ἑξῆς συναπτόμενον. P. — ind. 19.

832. εἰ δ' ἄγε μοι καὶ κεῖνον ὀιζυρὸν κατάλεξον.“

†) καὶ ὅτι τὸ „εἴδ' ἄγε“ φανερῶς ἐνταῦθα κεῖται ἀντὶ τοῦ „εἶα δὴ ἄγε“ κατὰ θέσιν παράλληλον ταυτοδύναμον. τὸ γὰρ εἰπεῖν εἴδ' ἄγε ἀντὶ τοῦ εἰ δὲ βούλει ἄγε, ἀδιανόητόν ἐστι. Eust. 1519, 30. — Fluxit ex Nicanore cf. ind. 10.

ΕΙΣ ΤΗΝ Ε.

11. „ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι,
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο.“

*) ἄμεινον ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, ἵν' ᾖ θαυμαστικόν. P. ind. 14 et 15.

„Ἑρμεία· σὺ γὰρ αὖτε τά τ' ἄλλα περ αγγελός ἐσσι·
30. νύμφῃ ἐυπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν.“

*) ἀφ ἑτέρας ἀρχῆς [τοῦτο] ἀναγνωστέον. ἀπαρέμφατον γάρ ἐστιν ἀντὶ προστακτικοῦ τοῦ εἰπέ. P. Idem fere scholion legitur ad Φ 295. cf. ind. 4.

50. „Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ.“

*) εἰς (δὲ) τὸ „ἐξ αἰθέρος“ βραχὺ διασταλτέον. HP. ind. 47.

53. vid. not. 1.

---

not. 1. 53. „ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.“

ἡ ἀμφιβολία τῆς διαστολῆς οὐδὲ τοὺς ἐξηγησαμένους ἔλαθεν. ἤτοι γὰρ ἀγρώσσων πυκινά, τουτέστι πυκινῶς, ἢ „πυκινὰ πτερά.“ κ. τ. λ. (correxit Dind.) HPQ. „Dubitarunt utrum πυκινὰ pro adverbio πυκινῶς acceptum cum verbo ἀγρώσσων coniungendum esset, an πυκινὰ πτερὰ dixisset poeta: quem vix opus moneri non tam absurde locuturum fuisse

56. „ἔνθ' ἐκ πόντου βὰς ἰοειδέος ἤπειρόνδε· || ᾔιεν."

*) τὸ „ἤπειρον" ἄμεινον τοῖς ἄνω συνάπτειν. ἐκβὰς ἐπὶ τὴν ἤπειρον ἐκ τῆς θαλάσσης. PQ. ind. 18.

82. „ἀλλ' ὅ γ' ἐπ' ἀκτῆς κλαῖε καθήμενος, ἔνθα πάρος περ,
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων."

†) τὸ „ἔνθα πάρος περ" μεταξὺ ἀναπεφώνηται. ind. 41.

„τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
101. ἄσπετον;"

*) τοῦτο (ἄσπετον) δύναται κομματικῶς ἀναπεφωνῆσθαι κατ' εὐθεῖαν, ὡς ἐκεῖ „νήπιος, οὐδὲ τὰ ᾔδη."[1] — Β 38. — εἰ δὲ συνάπτοιτο τοῖς ἄνω, αἰτιατική ἐστιν. PQ. ind. 24.

104. vid. not. 2.

118. „σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων."

†) βραχὺ διασταλτέον ἐπὶ τὸ „θεοί." ἐμφαντικώτερον γὰρ οὕτως. ἀμφίβολον δὲ τὸ „ζηλήμονες," πότερον ὀρθῆς ἐστιν ἢ κλητικῆς. ἴσως δ' ἄν τις καὶ μετὰ τὸ „ἐστέ" βραχὺ διαστέλλοι, συνάπτων οὕτως, θεοὶ ζηλήμονες, ὡς οὐ δεῖ θεοὺς ὄντας ζηλοτυπεῖν. HPQ.

Fortasse etiam quae post ἐμφαντικώτερον γὰρ οὕτως sequuntur ex Nicanore hausta sunt, atque κλητικῆς, quod vocabulum Nicanor nunquam habet — cf. FN. p. 38 — in προσαγορευτικῆς mutandum est. ind. 17.

„οἵ τε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνάζεσθαι
120. ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ' ἀκοίτην."

*) τὸ „ἀμφαδίην" ἑκατέροις δύναται προσδίδοσθαι. P. προσδίδοσθαι correxit Dindorfius pro προδίδοσθαι. ind. 19.

---

ut adverbio πυκινῶς adjectivum praeferret πυκινά ita collocatum, ut nemo non cum πτερά sit coniuncturus, quum praesertim πυκινός vel πυκνός frequens sit alarum epitheton." Dindorfius. Videtur scholium fuisse Nicanoris: βραχὺ διασταλτέον ἐπὶ τὸ „ἀγρώσσων," πρὸς τὸ σαφέστερον. cf. FN. p. 88. Eust. ad h. l. ind. 46.

1) ἐκεῖ — ᾔδη Buttmannus pro ἐκενήιος οὐδὲ τὰ εἴδη.

not. 2. „ἀλλὰ μάλ' οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
104. οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι."

ἢ ὑποστικτέον εἰς τὸ „ἁλιῶσαι" λείποντος τοῦ ἐρῶ. ἢ στικτέον, ἵν' ᾖ ἀπόδοσις τῶν ἀνωτέρων. P. Ex Nicanore fluxisse videtur.

„In P. ad v. 121 legitur hoc scholion: *ἐὰν μετὰ τὸ .... βραχὺ διαστείλωμεν, μᾶλλον τὴν τάξιν τοῦ λόγου σώσομεν.* P. Hoc scholion in quo post articulum *τὸ* deest verbum designatum, in codice Pal. positum erat inter haec ipsa duo scholia ubi hic posui. Unde coniicias, spectare illud ad verba *ὥς μέν*. Possis autem referre etiam ad *ἀμφαδίην*. Nam margo ita refertus est ut ex ordine et loco nulla certa coniectura sit." Buttmannus. Hoc mihi praeoptandum videtur esse, ut duo scholia in unum coniungantur et *βραχεῖα διαστολή* ponatur post *ἀμφαδίην*. Nam Nicanor, ubi non una cum versu desinit sententia, sed in sequentem aut una vox aut nonnullae porriguntur, hac prioribus continuandas esse plerumque constituit, cf. F. N. 43, ita ut ipsius Nicanoris verba sic fere restituenda sint: *τὸ „ἀμφαδίην" ἑκατέροις δύναται προσδίδοσθαι. βέλτιον δὲ τοῖς ἄνω συνάπτειν καὶ βραχὺ διασταλτέον ἐπὶ τὸ „ἀμφαδίην," ἵν' ᾖ τὸ ἑξῆς „παρ' ἀνδράσιν εὐνάζεσθαι ἀμφαδίην,"* quod epitomator depravavit in: *ἐὰν μετὰ τὸ „ἀμφαδίην" βραχὺ διαστείλωμεν, μᾶλλον τὴν τάξιν τοῦ λόγου σώσομεν.*

139. *„ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,*
πόντον ἐπ' ἀτρύγετον."

*) *τὸ ἑξῆς „ἐρρέτω πόντον ἐπ' ἀτρύγετον." τὰ δὲ ἄλλα ὡς διὰ μέσου διορθωτέον.* P. ind. 41.

143. *„αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ' ἐπικεύσω,*
ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται."

*) *τὸ ἑξῆς „ὑποθήσομαι ὥς κε μάλ' ἀσκηθής." τὸ δὲ „οὐδ' ἐπικεύσω" διὰ μέσου. δύναται καὶ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκεσθαι „οὐδ' ἐπικεύσω ὥς κε μάλ' ἀσκηθής," οὐκ ἀποκρύψομαι πῶς ἂν σωθείη.* PQT. ind. 41.

„ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς
164. *ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ' ἠεροειδέα πόντον."*

*) *βέλτιον τὸ „ὑψοῦ" τοῖς ἄνω συνάπτειν. ἐπεὶ γὰρ περὶ τοῦ πλάτους εἶπεν, εὐρεῖαν σχεδίην, ἀναγκαῖον καὶ περὶ τοῦ βάθους εἰπεῖν.* PQ. ind. 19. Eust. 1528, 62: *τὸ δὲ „ὑψοῦ" ἢ τοῖς ὄπισθε συντακτέον, ἵνα ᾖ „πῆξαι ἐπ' αὐτῆς ἴκρια ὑψοῦ." ἢ τοῖς μετ' αὐτό, ἵνα λέγῃ „ὥς σε φέρῃσιν ὑψοῦ, τουτέστιν „ἐπ' ἠεροειδέα πόντον." πρὸς ὁμοιότητα τοῦ „ὕψου ἐν νοτίῳ."*

„ἦ δὴ ἀλιτρός γ' ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
183. οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.“

*) ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν βέλτιον, ἵνα θαυμασμὸν μᾶλλον παραστήσωμεν P. — ind. 15. — Ad hunc versum manifesto referendum hoc scholion, quod in cod. statim subiunctum est scholio ad 179. Buttmannus.

208. „ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ' εἴης, ἱμειρόμενός περ ἰδέσθαι.“

*) τὸ „σὺν ἐμοί“ τοῖς ἑξῆς συναπτέον, ἐπὶ δὲ τὸ „φυλάσσοις“ βραχὺ διασταλτέον. P. ind. 21. 45.

„δῶκέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσιν,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
236. στειλειὸν περικαλλὲς ἐλάινον, εὖ ἐναρηρός.“

†) λείπει (δὲ) τὸ ἦν. ἢ ἀπὸ κοινοῦ τὸ „ἔδωκεν.“ PQ. ἦν Buttmannus pro ῆ.

Est Nicanoris, cuius adnotamentum sic fere ex hoc frustulo restituendum arbitror: λείπει τὸ ἦν αὐτοτελὲς ῥῆμα, διὸ καὶ στικτέον ἐπὶ τὸ „ἀκαχμένον.“ εἰ δέ τις κοινὸν λαμβάνοι τὸ „δῶκεν,“ συναπτέον τοῖς ἐπάνω. cf. ad *B* 445. ind. 1b.

313. „ὥς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης,
δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξεν.“

*) ἑκατέροις μὲν δύναται προσδίδοσθαι [τὸ „κατ' ἄκρης“] PQ. [βέλτιον δὲ τοῖς ἄνω συνάπτειν.] ind. 18. 54.

337. vid. not. 3.

„ὤ μοι, ἐπεὶ δὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
409. Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐτέλεσσα,
ἔκβασις οὔ πῃ φαίνεθ' ἁλὸς πολιοῖο θύραζε.“

---

not. 3. 337. „αἰθυίῃ δ' εἰκυῖα ποτῇ ἀνεδύσετο λίμνης.“

τινὲς εἰς τὸ „εἰκυῖα“ στίζουσιν, ἵν' ᾖ, πετομένη ἀνῆλθεν ἐκ τῆς λίμνης. PT.

Eust. 1543, 53: τὸ δὲ „ποτῇ“ ἢ κατὰ δοτικήν, ἵνα λέγῃ ὅτι πετομένῃ αἰθυίῃ ἐοικυῖα. ἢ κατὰ εὐθεῖαν πτῶσιν, ἵνα ᾖ „ποτὴ ἀνεδύσατο λίμνης,“ ἤγουν πετασθεῖσα ἐκ θαλάσσης ἀνέδυ. γράφεται δὲ καὶ σὺν τῷ νῦ, ποτήν. ὃ δηλοῖ τὴν πτῆσιν, ὡς ἂν λέγῃ, ὅτι ἐοικυῖα αἰθυίῃ κατὰ τὴν πτῆσιν, ἤγουν κατὰ τὴν ὁρμήν.

*) ὑποστικτέον εἰς τὸ „Ζεύς,“ καὶ „ἐπέρασα.“ [1] ἡ γὰρ ἀνταπόδοσις εἰς τὸ „ἔκβασις οὔ πῃ φαίνεται.“ H. ind. 39.

415. „μή πώς μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ
κῦμα μέγ' ἁρπάξαν.“

*) ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον. μάλα γὰρ τὴν εὐλάβειαν κομματικῶς λεγόμενον παρίστησι. P. ind. 8. 25.

439. „νῆχε παρέξ, ἐς γαῖαν ὁρώμενος.“

*) ὀξύτονον τὸ παρέξ, μεθ' ὃ βραχὺ διασταλτέον. δηλοῖ τὸ παρενήχετο. P. Coniunxit scholiasta Herodianum et Nicanorem. cf. Lentz, Herodian. ind. 45.

„ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
ἶξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος,
λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο.
444. ἔγνω δὲ προρέοντα, καὶ εὔξατο ὃν κατὰ θυμόν.“

†) ἡ ἀνταπόδοσις εἰς τὸ „ἔγνω δὲ προρέοντα,“ ἵνα περιττεύῃ ὁ σύνδεσμος. P. ind. 36.

„δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους,
477. ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.“

*) στικτέον μετὰ τὸ „πεφυῶτας,“ ἵνα ἐν τοῖς ἑξῆς λείπῃ τὸ ἦν ῥῆμα, ὁ μὲν φυλίης ἦν, ὁ δὲ ἐλαίης. PQ. cf. Eust. p. 1547: ὅρα δὲ καινὸν σχῆμα ἐν τῷ „δύο ὑπῆλθε θάμνους. ὁ μὲν φυλίης. ὁ δ' ἐλαίης.“ ἐχρῆν μὲν γὰρ εἰπεῖν τὸν μὲν φυλίης. τὸν δ' ἐλαίης. ὁ δὲ στίξας τελείαν ἐν τῷ „ἐξομόθεν πεφυῶτας.“ εἶτα ὡς ἐξ ὑπαρχῆς ἐπάγει κατὰ ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος τὸ „ὁ μὲν. ὁ δέ.“ ἵνα λέγῃ ὡς ὁ μὲν ἦν φυλίης, ὁ δὲ ἦν ἐλαίης. ind. 1ᵇ.

478. „τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάη μένος ὑγρὸν ἀέντων,“

*) ἀμφίβολον· ὑγρὸν μένος, ἢ ὑγρὸν ἀέντων, ἀντὶ τοῦ ὑγρῶς ῥεόντων. τῆς ἀμφιβόλου διαστολὴ ἡμᾶς ἀπαλλάττει. PQ.

---

1) γρ. ἐπέρασα (ἐπέρασσα P). „Est haud dubie glossema, quod ipsum in textu habet M. ἐπέρασσα scriptum, sed superscripto ἐτέλεσσα.“ Dindorfius. La Roche ἐπέρασσα in textum recepit.

Majus defectus signum hic posuit, nimirum pro *διαστολή* ipse habens *διαστολῆς*. Nunc ad *τῆς ἀμφιβόλου* intelligendum est *λέξεως*. Buttm. fort. *τοῦ* Dind. ind. 46. 54.

„ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
483. *εὐρεῖαν. φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,*
ὅσσον τ' ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι."

*) *φύλλων γὰρ ἔην χύσις: ἐὰν ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶμεν τοῖς ἑξῆς συνάπτοντες, ἔσται καθολικὸς ὁ λόγος, ὅτι τοσαῦτα ἦν τὰ φύλλα ὥστε καὶ δύο καὶ τρεῖς καλύψασθαι. ἐὰν δὲ ὡς διὰ μέσου κείμενον διορθῶμεν, ἔσται τοσαῦτα φύλλα ἐπιβεβλημένος ὅσον δύο ἢ τρεῖς καλύψαι, πλεῖον τῶν δεόντων*[1] *δηλονότι.* PQ. ind. 41.

ΕΙΣ ΤΗΝ Ζ.

2. vid. not. 4.

„ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας
55. *ἐς βουλήν."*

*) *βέλτιον τοῖς ἄνω συνάπτεσθαι τὸ „ἐς βουλήν."* P. — ind. 19.

85. *„αἱ δ' ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ' ἵκοντο,*
ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ' ὕδωρ
καλὸν ὑπεκπρορέει μάλα περ ῥυπόωντα καθῆραι,
ἔνθ' αἵ γ' ἡμιόνους μὲν ὑπεκπροέλυσαν ἀπήνης."

*) *ἡ ἀνταπόδοσις „ἔνθ' αἵ γ' ἡμιόνους μέν," τὰ δὲ ἄλλα διὰ μέσου.* P. — ind. 41.

---

1) *δεόντων* Friedlaenderus N. p. 79 pro *ὄντων*.

not. 4. *„ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεύς*
2. *ὕπνῳ καὶ καμάτῳ ἀρημένος."*

βεβλαμμένος. ἤτοι συλληπτικῶς. ὑπὸ μὲν γὰρ τοῦ καμάτου βέβλαπτο, ὑπὸ δὲ τοῦ ὕπνου οὐκέτι. ὁ γὰρ ὕπνος οὐ βλάπτει. ἢ κατ' ἀντίφρασιν τὴν ἀγρυπνίαν ὕπνον ἔφη. ἢ ἐπὶ τῷ „καμάτῳ" στικτέον, εἶτα ἀρημένος ὑπὸ τοῦ Ποσειδῶνος, ἤγουν βλαβεὶς καὶ παρεθεὶς ἢ κατεχόμενος. EOQV. — Eust. 1548, 42: *τινὲς δὲ στίξαντες τελείαν ἐν τῷ „ὕπνῳ" φασὶν ὡς ἐκάθευδεν ὑπνῶν, καίτοι καμάτῳ παρεθείς. ἕτεροι δὲ δασύναντες τὸ ἁρημένος νοοῦσιν ἀντὶ τοῦ ὕπνῳ καὶ καμάτῳ κεκρατημένος.* — ind. 19.

92. „στεῖβον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι."

*) „θοῶς" βέλτιον τοῖς ἡγουμένοις συναπτέον. P. ind. 21.

141. „στῆ δ' ἄντα σχομένη. ὁ δὲ μερμήριξεν Ὀδυσσεύς."

†) ἀμφίβολος ἡ στιγμὴ καὶ ἡ διάνοια. ἢ γὰρ ἔστη ἐπισχοῦσα ἑαυτὴν τῆς φυγῆς· καθ' ἣν διάνοιαν χωριστέον ἑκάτερον. οἱ δὲ*) λείπειν φασὶ τὰς χεῖρας, ἵν' ᾖ παραβαλλομένη τὰς χεῖρας ἐπὶ τὸ κρήδεμνον. οἱ δέ φασι τὸ κρήδεμνον λείπειν, τουτέστι περικαλυψαμένη ὑπ' αἰδοῦς. PQ.

*) sic Heliodorus apud Apoll. lex. s. v. στῆ. Eust. 1555, 28: στῆ δ' ἄντα σχομένη, ἤγουν κρατηθεῖσα ἢ ἐπισχοῦσα ἑαυτὴν τῆς φυγῆς. ind. 30.

„ὣς δ' αὔτως καὶ κεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ
167. δήν, ἐπεὶ οὔ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης."

*) μετὰ τὸ „δήν" διασταλτέον· ἐπὶ πολὺ γάρ φησι τεθαυμακέναι τὸ φυτόν. οὕτως ὁμοίως ὥσπερ σὲ θαυμάζω. P. ind. 45.

180. „σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς,
ἄνδρα τε καὶ οἶκον, καὶ ὁμοφροσύνην ὀπάσειαν
ἐσθλήν."

*) ἤτοι στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, (180) ἵν' ᾖ ἀφ' ἑτέρας ἀρχῆς ἕκαστον τῶν ἑξῆς ἐν κεφαλαίῳ, ἢ μέχρι τοῦ „καὶ οἶκον" στικτέον, τὰ δὲ ἄλλα ἀφ' ἑτέρας ἀρχῆς. P. ind. 29.

183. „ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή. πόλλ' ἄλγεα δυσμενέεσσιν,
χάρματα δ' εὐμενέτῃσι."

*) βραχὺ διασταλτέον ἐπὶ τὸ „νοήμασι." σαφέστερον γὰρ οὕτως. HP. ind. 45.

πόλλ' ἄλγεα: *) ταῦτα ἀφ' ἑτέρας ἀρχῆς. P. ind. 22.

187. „ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,"

†) οὐδὲν ἀποδίδωσι τῷ „ἐπεί" ὁ ποιητής. PQ. ind. 31.

„αὐτὰρ ἐπεὶ δὴ πάντα λοέσσατο καὶ λίπ' ἄλειψεν,
228. ἀμφὶ δὲ εἵματα ἕσσαθ' ἅ οἱ πόρε παρθένος ἀδμής,
τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαυῖα,
μείζονά τ' εἰσιδέειν καὶ πάσσονα."

†) ἄδηλον ποῦ ἐστιν ἀνταπόδοσις, πότερον εἰς τὸ „τὸν μὲν Ἀθηναίη θῆκε,“ καὶ ὑποστικτέον εἰς τὸ „ἀδμής,“ ἢ ἀποδοτέον „ἀμφὶ δὲ εἵματα ἕσσατο,“ τοῦ „δὲ“ πλεονάζοντος. Q. ind. 36.

262. 289. vid. not. 5.

287. „ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων ἀνδράσι μίσγηται.“

*) βραχὺ διασταλτέον μετὰ τὸ „φίλων.“ H. ind. 45. Quamquam v. 275—288 ab Aristarcho obelo sunt notati, tamen Nicanor distinxit. v. ind. 52.

302. „οἷος δόμος Ἀλκινόοιο ἥρωος.“

†) εἰ μὲν πρὸς γενικὴν ἀφορᾷς, μὴ στίξῃς εἰς τὸ „Ἀλκινόοιο.“ εἰ δὲ πρὸς κλητικήν, στίξον, ἵνα ᾖ πρὸς Ὀδυσσέα ὁ λόγος λέγων, ἀλλὰ ὦ ἥρως. B.

„In hoc itaque scholio ne dubitandum quidem est de scriptura ἥρως, quam alii genitivum alii vocativum esse putabant.“ Buttm. ἥρως scribunt codd. A B D H I K P R S V cf. la Roche. Sumtum esse videtur scholium ex Nicanore, sed dictio adulterata est, cum Nicanor nunqum vocabulo „κλητική“ usus sit. — ind. 16.

ΕΙΣ ΤΗΝ Η.

„τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων
65. νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα.“

*) βραχὺ (δὲ) διασταλτέον μετὰ τὸ „νυμφίον.“ βέλτιον γὰρ τὸ „ἐν μεγάρῳ“ τοῖς ἑξῆς προσνέμειν, ἵνα δηλωθῇ ὅτι παρθένον αὐτὴν ἀπέλιπεν. P T. ind. 21. 46.

---

not. 5. 262. „αὐτὰρ ἐπὴν πόλιος ἐπιβείομεν, ἣν πέρι πύργος
289. ξεῖνε, σὺ δ' ὧδ' ἐμέθεν ξυνίει ἔπος.“

τὸ ἑξῆς οὕτως,[1] αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν, ξεῖνε σὺ δ' ὧδ' ἐμέθεν ξυνίει ἔπος (289), τὰ δὲ λοιπὰ διὰ μέσου.[2] HQT. — αὐτὰρ ἐπὴν πόλιος ἐπιβάζομεν, δήεις ἀγλαὸν ἄλσος. (291) οὕτω τὸ ἑξῆς. HQ.

1) 2) τὸ ἑξῆς οὕτως et τὰ δὲ λοιπὰ διὰ μέσου addidit Dindorfius ex T. — cf. FN. p. 78. Fluxisse possunt ex Nicanore. ind. 41.

73. „οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῖ.“

*) τελεία εἰς τὸ „ἐσθλοῦ.“ H. ind. 22.

74. „οἷσίν τ' εὖ φρονέῃσι.“

†) θαυμαστικόν. E. ind. 15.

103. „πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες
αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν,
αἱ δ' ἱστοὺς ὑφόωσι καὶ ἠλάκατα στρωφῶσιν.“

†) τὸ σχῆμα τῆς διαλύσεως ὁμοιότροπον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πτώσεων· τούτους ἠγάπησα, τὸν μὲν ὅτι εὐφυής ἐστι, τὸν δὲ ὅτι φιλόπονος. τούτων κήδομαι, τοῦ μὲν ὅτι εὐφυής ἐστι, τοῦ δὲ ὅτι ἀγαθός. καὶ ἐπὶ δοτικῆς, τούτοις ἐδωρησάμην, τῷ μὲν, τῷ δέ. οὕτως οὖν καὶ ἐπὶ τῆς ὀρθῆς, „Νεστορίδαι δ' ὁ μὲν ὁ δὲ“ (Π 317). καὶ γυναῖκες αἱ μὲν αἱ δὲ. εἰ δέ τῳ προσκόπτοιτο, στιζέτω[1] ἐπὶ τοῦ „γυναῖκες,“ ἵνα λείπῃ τὸ ἦσαν, τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς. PQ.

Verba: εἰ δέ τῳ προσκόπτοιτο — ἀπὸ ἄλλης ἀρχῆς a Nicanore profecta esse videntur, qui talia soloece dicta esse existimat, nisi interpunctione dirimantur. Et hanc medicinam adhibere solet cf. ad *E* 245: ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι, ἶν' ἀπέλεθρον ἔχοντας. ὁ μὲν τόξων εὖ εἰδὼς — Αἰνείας δ' υἱός —: στικτέον ἐπὶ τὸ „ἔχοντας,“ ἵνα μὴ σολοικισμὸς γένηται, ἐὰν συνάπτωμεν. λείπει δὲ τῷ ἑξῆς τὸ ἐστίν. οὐ γὰρ δύναται σχῆμα εἶναι, ὡς Νικάνωρ φησίν. Pro δέ οἱ legunt δ' ἔσαν codd. AEGIKMRV. ind. 1b. 49.

125. „πάροιθε δέ τ' ὄμφακές εἰσιν
ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.“

†) ἐὰν (δὲ) στίξωμεν εἰς τὸ „εἰσί,“ τὸ δὲ „ἄνθος ἀφιεῖσαι“ τοῖς ἑξῆς συνάψωμεν, ἔσται ὁ νοῦς οὕτως· τινὲς αὐτῶν περκάζουσι, τὸ ἄνθος καὶ τὸ θερμὸν τῆς αὐξήσεως λήγουσαι καὶ πεπαινόμεναι. PQ. Fluxisse potest ex Nicanore. ind. 21.

148. „τοῖσιν θεοὶ ὄλβια δοῖεν
ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
κτήματ' ἐνὶ μεγάροισι, γέρας θ' ὅ τι δῆμος ἔδωκεν.“

---

1) στίζετω Friedlaender N. p. 95 pro σχηματιζέτω.

†) ἐν τῷ „ὄλβια δοῖεν“ ἡ στιγμή. λοιπὸν λέγει ποῖα ὄλβια, „ζωέμεναι καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος τὸν ὄλβον.“ ἤτοι συναπτέον, ἵν' ᾖ ὀλβίως ζῆν. BPQT.

Corruptum est et sic fere restituendum: βραχὺ διασταλτέον ἐπὶ τὸ „δοῖεν.“ συλληπτικῶς γὰρ λέγει, εἶτα διαιρεῖ. ἢ συναπτέον, ἵν' ᾖ ὀλβίως ζῆν. ind. 48.

183. „νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν.“

*) βραχὺ διασταλτέον μετὰ τὸ „πᾶσι.“ P. ind. 47.

203. „δαίνυνταί τε παρ' ἄμμι καθήμενοι ἔνθα περ ἡμεῖς.“

*) τὸ „καθήμενοι“ τοῖς ἑξῆς βέλτιον συνάπτειν. P. ind. 21. 47.

210. „ἀλλὰ θνητοῖσι βροτοῖσιν.
οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀιζὺν
ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.“

*) στικτέον εἰς τὸ „βροτοῖσι.“ τὸ „οὕςτινας“ ἀφ' ἑτέρας ἀρχῆς. ὑποστικτέον δὲ εἰς τὸ „ἀνθρώπων.“ P. partim H.

„Haec ratio nunc obtinet. Apparet itaque ex hoc praecepto, exturbatam esse ea aliam, et quidem multo saniorem, hanc: φυήν· ἀλλὰ θ. βροτοῖσιν, οὕστινας κ. τ. ἑ., τοῖσίν κεν — ἰσωσαίμην.“ Buttmannus. Interpunctionem vulgatam iniuria a Buttmanno impugnatam praefert Friedlander N. p. 65. ind. 22. 38.

214. „ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.“

†) τοῦτο ἀφ' ἑτέρας ἀρχῆς ἐν θαυμασμῷ ἀνεφώνησε. BT. ind. 15.

224. „καί περ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰών.“

*) βέλτιον τοῖς ἄνω συνάπτειν τὸ „πολλὰ παθόντα,“ ἀφ' ἑτέρας δὲ ἀρχῆς προφέρεσθαι τὸ „ἰδόντα με.“ BP. ind. 19.

226. „ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπῄνεον ἠδ' ἐκέλευον
πεμπέμεναι τὸν ξεῖνον.“

*) οἱ μὲν ἔστιξαν ἐπὶ τὸ „ἐπῄνεον,“ οἱ δὲ συνῆψαν, „ἠδ' ἐκέλευον πεμπέμεναι.“ P. Sic fere Nicanoris verba restituenda sunt: συναπτέον μεχρὶ τοῦ „πεμπέμεναι τὸν ξεῖνον.“ δύναται δὲ στίζεσθαι καὶ ἐπὶ τὸ „ἐπῄνεον.“ — ind. 28. —

„ἔνθα Καλυψώ
255. ναίει ἐυπλόκαμος, δεινὴ θεός, ἥ με λαβοῦσα
ἐνδυκέως ἐφίλει.“

*) τὸ „ἥ με λαβοῦσα“ βέλτιον ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν, αὕτη μ' ἑλοῦσα. P. ind. 13. Quamquam Aristarchus v. 251—258 expunxit — C. Ar. p. 75 — Nicanor tamen distinxit. v. ind. 52.

264. „πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου, πολλὰ δ' ἔδωκεν,
σῖτον καὶ μέθυ ἡδύ, καὶ ἄμβροτα εἵματα ἕσσεν.“

*) βραχὺ διασταλτέον μετὰ τὸ „ἔδωκε,“ τὴν λύσιν τῶν ἑξῆς.[1] P. ind. 48.

285. „ἐκβὰς ἐν θάμνοισι κατέδραθον.“

*) βραχὺ διασταλτέον μετὰ τὸ „ἐκβάς.“ HP. — ind. 47.

„κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν
336. δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλά
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.“

*) βραχὺ διασταλτέον καθ' ἕκαστον „θέμεναι, βαλέειν, τάπητας, οὔλας.“ H. ind. 44.

ΕΙΣ ΤΗΝ Θ.

72. „αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
οἴμης τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανεν.“

†) τὸ δὲ „οἴμης“ οἱ μὲν μετὰ τοῦ „ἀνδρῶν“ συντάσσουσιν· ἵνα ᾖ „κλέα ἀνδρῶν οἴμης.“ κάλλιον δὲ στίζειν εἰς τὸ „ἀνδρῶν.“ εἶτα ὡς ἐξ ἄλλης ἀρχῆς ἀπὸ κοινοῦ σχηματίσαι καὶ εἰπεῖν· ὡς ἄειδεν ἀπὸ οἴμης ἐκείνης, ἧς εὐρὺ τὸ κλέος ἦν. Eust. 1586, 44. cf. FN. 48. — *Π* 56. *Σ* 435. *Z* 396. *K* 437. schol. in H: ἀπὸ τῆς οἴμης ἐκείνης. ind. 25*.

186. „ἦ ῥα, καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον.“

†) καὶ σὺν αὐτῷ τῷ φάρει ἀναΐξας ἔλαβε τὸν δίσκον B. σὺν τῷ ἱματίῳ, ὡς εἶχεν V. Scholion certe derivatum est ex

---

1) Corr. διὰ τὴν διάλυσιν ἐν τοῖς ἑξῆς. FN. p. 94.

Nicanore, non ex Aristonico, ut p. 80 not. I Aristonici mei suspicatus eram, cf. FN. ad *Λ* 421: *καὶ ἐνθάδε διασταλτέον πρὸς τὸ σαφέστερον. ἀμφίβολον δὲ καὶ τὸ ἑξῆς. ἤτοι γὰρ „μετάλμενος ὀξέι δουρί“ οἷον σὺν τῷ δόρατι ἐφαλλόμενος, ὡς ἐκεῖ „καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον.“* — *Θ* 185 — Eust. 1591, 21: *τὸ δὲ „αὐτῷ φάρει ἀναΐξας“ δηλοῖ μὲν Ἀττικῶς τὸ σὺν αὐτῷ ἱματίῳ, ἐμφαίνει δὲ τὸ τοὺς ἄλλους ἡμιγύμνους δισκεύειν.*

236. *„ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ ἀγορεύεις,*
ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν . . . .
241. *ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος.“*

*) *τὸ ἑξῆς οὕτως, ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις, ἄγε δὴ νῦν ἐμέθεν ξυνίει ἔπος· ἵν' ᾖ ὁ „ἀλλὰ“ ἀντὶ τοῦ δή.* BQ. ind. 37.

246. *„οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,*
ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι.“

†) *καὶ γὰρ τὸ „εἰμὲν“ ἐν τῷ „ἄριστοι“ (ἄριστοι* Buttm. pro *τρίτῳ) ἀπὸ κοινοῦ λαμβάνεται.* Q. ind. 43.

cf. FN. p. 82. Eust. 1592, 53: . . . *„καὶ νηυσὶν ἄριστοι“ ἐσμὲν δηλαδή. εἰ καὶ λείπει τὸ ῥῆμα.*

268. *„ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν*
λάθρῃ. πολλὰ δ' ἔδωκε, λέχος δ' ᾔσχυνε καὶ εὐνὴν
Ἡφαίστοιο ἄνακτος. ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν.“

†) *ἡ σύνταξις „ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο ἄνακτος, ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν,“ ἵν' ᾖ κατ' ἐπανάληψιν.* HQ. ind. 44. — Collatis exemplis, quae Friedlaender p. 83 contulit, sic Nicanorem distinxisse putaverim: *διασταλτέον βραχὺ „λάθρῃ,“ „ἔδωκε,“ στικτέον δ' ἐς „ἄνακτος.“ ἐπανάληψις γάρ ἐστιν κατὰ πάντων τοῦ „ὡς.“*

329. *„οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν.“*

*) *τελεία στιγμὴ εἰς τὸ „ἔργα.“* Q.

Cui scholio videtur adiungendum esse ex EQ: *ἀπὸ ἑτέρας δὲ ἀρχῆς ἡ ἑξῆς γνώμη,* et sic fere Nicanoris verba restituenda sunt: *τελεία στιγμὴ εἰς τὸ „ἔργα,“ ἵν' ἀπ' ἄλλης ἀρχῆς ᾖ τὸ „κιχάνει τοὶ βραδὺς ὠκύν.“ ἀσύνδετος γὰρ ὁ λόγος.* — ind. 22.

347. „λῦσον. ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι."

*) εἰς τὸ „λῦσον" ἡ στιγμή. H. [αὐτοτελὴς γὰρ ὁ λόγος.] ind. 3.

372. „οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο,
πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαίφρων,
τὴν ἕτερος ῥίπτασκε."

*) τὸ ἑξῆς „οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο, τὴν ἕτερος ῥίπτασκεν." H. omissum est τὰ δὲ ἄλλα διὰ μέσου. — ind. 41.

454. „τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
ἔκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μέτα οἰνοποτῆρας || ἤιε."

*) εἰς τὸ „χιτῶνα" ὑποστικτέον. H. Totum Nicanoris adnotamentum hoc fuisse videtur: ὑποστικτέον εἰς τὸ „λοῦσαν," „ἐλαίῳ," „χιτῶνα." ἡ γὰρ ἀνταπόδοσίς ἐστιν ἀπὸ τοῦ „ἐκ ῥ' ἀσαμίνθου βάς." cf. FN. p. 67: Saepe eam ὑποστιγμήν solam invenimus memoratam, quam statim sequitur apodosis, sive ipse Nicanor hanc solam enotavit ut maxime necessariam, sive is, qui eius librum ad scholia codicis A contexenda adhibuit, ceterarum mentionem facere noluit: unde minime colligendum hanc solam positam esse. ind. 39.

487. „Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων."

*) ἐνταῦθα τελεία ἡ στιγμή. H. ind. 22.

492. vid. not. 6.

ΕΙΣ ΤΗΝ Ι.

15. „κήδε' ἐπεί μοι πολλὰ δόσαν θεοὶ Οὐρανίωνες."

*) οὐ δεῖ στίζειν εἰς τὸ „κήδεα," ἀλλ' ὑφ' ἓν ἀναγινώσκειν. H. ind. 51.

---

not. 6. 492. „καὶ ἵππου κόσμον ἄεισον
δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
ὅν ποτ' ἐς ἀκρόπολιν δόλῳ ἤγαγε δῖος Ὀδυσσεύς."

[σὺν Ἀθήνῃ.] τοῦτό τινες τοῖς ἑξῆς συνάπτουσιν. E. ind. 21. Fluxisse potest ex Nicanore.

37. „εἰ δ' ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ' ἐνίσπω.“

†) εἰπών, φησί, τὸ ὄνομα ἄγε δὴ καὶ τὸν νόστον εἴπω τὸν πολλῶν συμφορῶν καὶ κακῶν πλήρη. Q. Hic posui propter rectam explicationem formulae εἰ δ' ἄγε, quae Nicanori debetur. ind. 10.

281. „ὣς φάτο πειράζων, ἐμὲ δ' οὐ λάθεν εἰδότα πολλά.“

*) εἰς (δὲ) τὸ „ὣς φάτο“ στικτέον. ἦθος γὰρ ἐμποιεῖ τὰ ἐπιφερόμενα Η. — ind. 20. —

Si Nicanor post ὣς φάτο distinxit, particula δέ in tertio enuntiationis loco posita est, id quod ipse ὑπερβατόν nominat, neque prorsus respuit.

ΕΙΣ ΤΗΝ Κ.

„ἔνθα τότ' ἐκβάντες δύο τ' ἤματα καὶ δύο νύκτας
143. κείμεθ', ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.“

†) εἰς τὸ „κείμεθα“ στικτέον. Η. [τοῖς γὰρ ἄνω συνάπτεται.] pro στικτέον corr. βραχὺ διασταλτέον v. ad α 4. ind. 19.

174. „ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ' ἀχνύμενοί περ
εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ·
ἀλλ' ἄγετ', ὄφρ' ἐν νηὶ θοῇ βρῶσίς τε πόσις τε,
μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.“

†) τινές φασιν ὅτι ἀπὸ τοῦ γὰρ ἤρξατο. ἐγὼ δὲ οἴομαι ὅτι ἡ σύνταξις οὕτως ἔχει. ὁ „ἀλλὰ“ ἀντὶ τοῦ δή. ὦ φίλοι ἄγετε δή, ὄφρ' ἐν νηὶ βρῶσίς τε πόσις, μνησόμεθα βρώμης. οὐ γάρ πω καταδυσόμεθα, ἤτοι κατελευσόμεθα καὶ κατέλθωμεν, ἀχνύμενοί περ εἰς Ἀΐδαο δόμους πρὶν μόρσιμον ἦμαρ ἐπελθεῖν. HQ. — ind. 37. — Prior scholii pars Aristonicum redolet, cf. ad α 337. δ 722. κ 174. 189. 501. sequentia esse Nicanorea videntur. Eust. 1653, 59: σημείωσαι δὲ τὸ „ὦ φίλοι, οὐ γάρ που καταδυσόμεθα εἰς Ἅιδην, ἀλλὰ μνησόμεθα βρώμης,“ ἐν πολλοῖς γὰρ ὁ ποιητὴς ἀρχόμενος ἀπὸ τοῦ γάρ, εἶτα ἐπάγει τὸν ἀλλὰ σύνδεσμον ταὐτοδυναμοῦντα τῷ δή, οὕτω γοῦν καὶ μετ' ὀλίγα φησίν — 190 — „ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ Ἠώς, οὐδ' ὅπῃ Ἠέλιος φαεσίμβροτος εἶσιν ὑπὸ γῆν, οὐδ' ὅπῃ ἀννεῖται, ἀλλὰ φραζώμεθα θᾶσσον“ κ. τ. λ. κεῖται δὲ καὶ μετὰ

βραχέα ἐν τοῖς περὶ Κίρκης σχῆμα ὅμοιον, οἷον „ὦ φίλοι, ἔνδον γάρ τις καλὸν ἀοιδιάει, ἀλλὰ φθεγγώμεθα θᾶσσον.“

204. vid. not. 7.

ΕΙΣ ΤΗΝ Λ.

170. *„ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον.*
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
ἦ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;“

Videtur Nicanoris adnotamentum fuisse de duplici interrogatione, ut ad *Ω* 381: *βέλτιον ἀφ' ἑτέρας ἀρχῆς τὴν πεῦσιν γίνεσθαι· ἆρα ἐκπέμπεις;* cf. *δ* 487 F. N. p. 32. Apud Eust. scriptum invenimus ad hunc locum haec: *ἰστέον δὲ ὅτι ἐν τῷ „ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις“ ὁ ῆ σύνδεσμος διαπορητικός ἐστι κατὰ τοὺς παλαιούς, δίχα δηλαδὴ ἐρωτήσεως ὡς ἐν τοῖς εἰς τὴν ἄλφα ῥαψῳδίαν τῆς Ἰλιάδος γέγραπται. ἔνθα δεδήλωται καὶ ὅτι πολλαχῶς ὁ τοιοῦτος νοεῖται σύνδεσμος. διαζευκτικός τε γάρ ἐστι καὶ διασαφητικὸς καὶ παραδιαζευτικὸς καὶ διαπορητικὸς ὅτε τις μὴ ἐρωτᾷ, καὶ ἰσοδύναμος τῷ εἰ καὶ ἐρωτηματικὸς καὶ βεβαιωτικὸς καὶ συγκριτικός. ἐνταῦθα δὲ ῥητέον ὅτι καὶ λυτικὸς νόμῳ φιλοσόφων, οἷον· διὰ τί ἐπαινεῖται ἡ μέλισσα. τοῦτο ἀπορία. λύσις δὲ αὐτῆς τὸ ἢ ὅτι ἀγαθὴ ἐργάτις ἐστί. λαμβάνεται δέ ποτε καὶ ἀντὶ τοῦ εἰ μή, οἷον· τί ἂν καλὸν ἐποίησα*

---

not. 7. 204. *„ἠρίθμεον, ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα.“*

ἰστέον δὲ ὅτι ἐν τῷ „ἠρίθμεον, ἀρχὸν δὲ“ καὶ ἑξῆς τινες μὲν δακτυλικῶς τὴν ἀρχὴν ἐπόδισαν λαβόντες τὴν ρι συλλαβὴν βραχεῖαν διὰ τὸ ἐπιγμένον ἄφωνον θῆτα. οἷον ἠρῖθμον. τὸ δὲ ον μακρὸν ἐδέξαντο κατὰ πολλὰς αἰτίας (quarum una est interpunctio). *καὶ οὕτω δι' αὐτοῦ καὶ τῆς αρ συλλαβῆς ἀπετέλεσαν πόδα σπονδεῖον. καὶ οὕτω μέν τινες.* Eust. 1655, 31. Inter hos fortasse Nicanor. Nam ubi aut ante aut post distinctionem brevis est pro longa, succurrit huic defectui illud intervalli inane tempus, quo aut ultima vocabuli praecedentis aut prima insequentis syllaba producitur. FN. p. 121. Videtur igitur Nicanoris scholium fuisse ut ad *Τ* 189, quod sic fere restituendum erit: *στικτέον μετὰ τὸ „ἠρίθμεον“ τελείαν. τοῖς γὰρ ἄνω συνάπτεται. καὶ ἵνα διὰ τῆς σιωπῆς τοῦ χρόνου τὸ μέτρον σώζηται.* cf. ad *γ* 230. Ante *δέ* Nicanor *στιγμήν* ponere solet cf. exempla apud Friedlaenderum p. 56. — ind. 53. —

ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας, ἤγουν εἰ μὴ θαυμάσας. τοῦτο δὲ ἰσοδύναμόν ἐστι τῷ ἀλλὰ συνδέσμῳ. λαμβάνεται δέ ποτε τὸ ἢ καὶ ἀντὶ τοῦ καθό, φασίν, ἢ ὡς. αὐτὸ δὲ καὶ ἦχι μετ' ἐπεκτάσεως γίνεται ἀντὶ τοῦ ὅ που. ἔστιν ῆ καὶ ὅρκιον μετὰ τοῦ μὴν οἷον· ἦ μὴν ποιήσω τόδε. οὕτω δὲ καὶ μετὰ τοῦ μέν, οἷον· ἦ μέν μοι πρόφρων ἔπεσι καὶ χερσὶν ἀρήξειν. Περὶ δὲ τοῦ ἦ ἀντὶ τοῦ ἔφη, ῥήματος ὄντος, ἕτερος λόγος, ὅτι δὲ ὁ ῆ σύνδεσμος λαμβάνεταί ποτε μετὰ ψιλῆς καὶ περισπωμένης ἀντὶ τοῦ ἆρα τοῦ κατ' ἐρώτησιν προπερισπωμένου οὐκ ἄδηλόν ἐστιν. In his illud ἰσοδύναμος τῷ εἰ et ἀντὶ τοῦ ἄρα a Nicanore profectum est. — ind. 12. —

350. „ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον."

*) τὸ ἑξῆς „τλήτω ἐπιμεῖναι εἰς αὔριον." adiungendum videtur esse post αὔριον: τὰ δὲ λοιπὰ διὰ μέσου. ind. 41.

475. vid. not. 8.

519. „ἀλλ' οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ."

†) θαυμαστικῶς (δὲ) τὸ „οἷον." Q. ind. 15.

„μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο,
614. ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ."

*) ἐνταῦθα στικτέον. V. Hoc illustratur per Eust. 1703, 7, ubi sic legitur: τινὲς δὲ τὸν τοιοῦτον στίχον δυσὶ κόμμασι μερίσαντες τὸ μὲν πρῶτον ἐλλειπτικῶς νοοῦσι, τὸ δὲ δεύτερον ἐντελῶς, ἵνα ᾖ „μὴ τεχνησάμενος εἴη, μήδ' ἄλλο τι τεχνήσαιτο." καί ἐστιν ὅμοιον τῷ „μὴ μνηστεύσαντες μήδ' ἄλλοθ' ὁμιλήσαντες." — δ 684 — καὶ ἐκεῖνο γάρ τινες τοιῶσδε εἶπον „μὴ

---

not. 8. 475. „ἔνθα τε νεκροὶ
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;"

εἰς τὸ „βροτῶν" ἡ στιγμή, ἵν' ᾖ οὕτως ὁ νοῦς, ὅπου ἐν τῷ Ἅιδῃ οἰκοῦσιν οἱ τεθνεῶτες ἐπιλελησμένοι τῶν ἀνθρωπίνων πραγμάτων· ἀμέλει γοῦν διὰ τῆς τοῦ αἵματος πόσεως εἰς μνήμην τῶν ἀνθρωπίνων πραγμάτων αὐτοὺς ἄγει. ἐὰν δὲ μὴ εἰς τὸ „βροτῶν" στίξωμεν, ὁ νοῦς οὕτως, ὅπου αἱ ψυχαὶ τὰ εἴδωλα τῶν ἀποθανόντων ἀνδρῶν ἀφρόντιστοι ζῶσι, τὰ κατὰ ἀνθρώπους μὴ λογιζόμενοι. HT. ind. 30. Est fortasse Nicanoris.

μνηστεύσαντες εἶεν" καὶ ἑξῆς. Tu Nicanoris scholion sic refinge: *στικτέον ἐπὶ τὸ „μὴ τεχνησάμενος, ἵνα λείπῃ τὸ „εἴη." τὸ δὲ ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς.* ind. 1°.

ΕΙΣ ΤΗΝ Μ.

75. *„νεφέλη δέ μιν ἀμφιβέβηκεν*
κυανέη. τὸ μὲν οὔ ποτ' ἐρωεῖ, οὐδέ ποτ' αἴθρη."

Quomodo Nicanor hos versus intellexerit apparet ex adnotatione ad Σ 515: *Παρμενίσκος τοῖς ἑξῆς συνάπτει τὸ „ἐφεσταότες," ἐπεὶ σολοικοφανές, φησί, τέκνα ἐφεσταότες καὶ ἄλοχοι. εἰ δὲ ἐν τοῖς τέκνοις εἰσὶ καὶ ἄρρενες, τί κωλύει πρὸς τὸ σημαινόμενον αὐτὸν ἀπηντηκέναι, ὡς καὶ ἐπ' ἄλλων μυρίων; „νεφέλη δέ μιν ἀμφιβέβηκε — τὸ μὲν οὔ ποτ' ἐρωεῖ" (μ 75). „νωμῆσαι βῶν — τό μοί ἐστιν" (Η 240). οὕτως καὶ ἐνθάδε ἑσταότες παῖδες.* Similis adnotationis frustula v. in V: *πρὸς τὸ συνώνυμον* (l. *σημαινόμενον*) *ἀπήντησε τὸ „οὔποτ' ἐρωεῖ."* cf. Eust. 1713, 60: *σημείωσαι δὲ καὶ ὅτι εὐθὺς καὶ ἕτερον ἐπισυνάπτει σχῆμα καινὸν τὸ „νεφέλη δέ μιν ἀμφιβέβηκε. τὸ μὲν οὔ ποτ' ἐρωεῖ," ἐχρῆν μὲν γὰρ εἰπεῖν „ἡ μὲν οὔ ποτ' ἐρωεῖ," τουτέστιν οὐδέποτε ἀποχωρεῖ ἐκεῖθεν ἡ νεφέλη, ὁ δὲ ἄλλως ἔφη „τὸ μὲν οὔ ποτ' ἐρωεῖ," τουτέστι τὸ νέφος, ὃ ταὐτὸν τῇ νεφέλῃ κατὰ πολυωνυμίαν.*

94. *„ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου."*

*) *τινὲς „ἐξίσχει" κακῶς στίζουσιν.* H.

„τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
102. *πλησίον ἀλλήλων· καί κεν διοιστεύσειας."*

*) *μετὰ τὸ στίξαι τελείως εἰς τὸ „Ὀδυσσεῦ" τὸ „πλησίον ἀλλήλων" ὡς ἀπὸ ἄλλης ἀρχῆς προφερόμεθα, καὶ στίζομεν εἰς τὸ „ἀλλήλων." λείπει δὲ τὸ*[1] *εἰσί, πλησίον ἀλλήλων εἰσίν.* Q. ind. 1°.

120. *„οὐδέ τις ἔστ' ἀλκή· φυγέειν κάρτιστον ἀπ' αὐτῆς."*

†) *ἐνταῦθα στικτέον.* V. *εἰς τὸ „ἀλκή" ἀνάπαυσις· εἶτα γνωμικώτερον τὸ ἑξῆς.* H. Fluxit ex Nicanore, qui ita loqui non

---

1) *λείπει δὲ τό* pro cod. *ἅδε τοι* correxit Friedlaender p. 25.

potuit. Nam vocabulo „ἀνάπαυσις" et verbo „ἀναπαύεσθαι," frequenti apud Herodianum et recentiores, utitur Nicanor rarissime, ita ut Friedlaenderus habeat suspicionem epitomatorem in illis scholiis, quae Nicanori eripi non possunt, paullulum mutata oratione eius sententiam expressisse. cf. F. N. p. 9. ind. 22.

178. vid. not. 9.

286. „ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, δηλήματα νηῶν, γίγνονται."

†) εἰς τὸ „χαλεποί" ἐστὶν ἡ στιγμή. H. Sic corrigendum: εἰς τὸ „χαλεποί" ἐστὶν ἡ βραχεῖα διαστολή. cf. α 4. ind. 41.

ΕΙΣ ΤΗΝ Ν.

147. „αἶψά κ' ἐγὼν ἔρξαιμι, κελαινεφές, ὡς ἀγορεύεις."

Nicanor pro κελαινεφές legit διοτρεφές cf. adnotationem eius ad Ι 538: πρὸς Ἀχιλλέα τὸ „δῖον γένος," οὐδέποτε γὰρ ἐπὶ θεοῦ τάσσει τὴν λέξιν. ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος. καὶ γὰρ λέγει, φησίν, „αἶψα κ' ἐγὼν ἔρξαιμι διοτρεφές, ὡς ἀγορεύεις" — ν 147 — ἀγνοῶν ὅτι κελαινεφές ἐστιν.

„Si haec duo frusta cohaerent atque eiusmodi auctoribus fides non deneganda est, Nicanorem memoria potius lapsum esse crediderim, quam re vera ita legisse." Friedlaender. N. p. 106 not.

293. vid. not. 10.

427. „ἀλλὰ τά γ' οὐκ ὀίω· πρὶν καί τινα γαῖα καθέξει."

*) ἕως τοῦ „ὀίω" ἡ στιγμή. Vind. 133. [μᾶλλον γὰρ οὕτως ἐμφαίνει. ἐὰν δὲ συνάπτηται, ἀδιανόητον γίνεται fortasse supplendum]. ind. 6.

---

not. 9. 178. „οἱ δ' ἐν νηί μ' ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε."

ἀπὸ κοινοῦ τὸ „ὁμοῦ," ὁμοῦ χεῖρας, ὁμοῦ πόδας. Q. Fluxit fortasse ex Nicanore. — ind. 43. —

not. 10. 293. „σχέτλιε, ποικιλομῆτα, δόλων ἀτ', οὐκ ἄρ' ἔμελλες."

τινὲς „δόλων ἄτερ" τοῖς ἑξῆς συνάπτοντες κακῶς αὐτό. H. Fluxit fortasse ex Nicanore. — ind. 21. —

ΕΙΣ ΤΗΝ Ξ.

5. „τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ
ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ."

*) τὸ ἑξῆς „ἥμενον περισκέπτῳ ἐνὶ χώρῳ." PQ. omissum est τὰ δὲ λοιπὰ διὰ μέσον. — ind. 41. —

87. „πλησάμενοι δέ τε νῆας ἔβαν οἰκόνδε νέεσθαι."

†) ὁ „δὲ" πλεονάζει. HQ. ind. 36.

100. „δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν,
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες."

†) τὸ δὲ „βόσκουσι" προστεθὲν σχήματος ἐποίησεν ἐξαλλαγήν. μετὰ γὰρ τὸ „δώδεκα ἐν ἠπείρῳ ἀγέλαι" τὸ „τόσα πώεα" καὶ τὰ ἑξῆς, αἰτιατικαί εἰσι διὰ τὸ „βόσκουσι·" καὶ οὐδὲν μὲν ἐκώλυεν εἰπεῖν καὶ ὅτι „δώδεκα ἀγέλας" καὶ „τόσα πώεα" καὶ „τόσα συβόσια" καὶ „τόσα αἰπόλια" βόσκουσιν. οὐχ εἵλετο δὲ ὁ ποιητὴς οὕτως εἰπεῖν, ἀλλὰ στίξας εἰς τὸ „ἀγέλαι" εἶτα συνέταξε τὰ ἑξῆς πρὸς αἰτιατικὴν διὰ τὸ „βόσκουσι." Eust. 1753, 14. Nicanoris adnotamentum fuisse videtur ut ad *E* 247: στικτέον ἐπὶ τὸ „ἀγέλαι," ἵνα μὴ σολοικισμὸς γένηται, ἐὰν συνάπτωμεν. λείπει δὲ τὸ „εἰσίν." ind. 1*.

138. „φίλοισι δὲ κήδε' ὀπίσσω
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται."

*) τὸ ἑξῆς „κήδεα τετεύχαται." H. [τὰ δὲ λοιπὰ ὡς διὰ μέσου λεγόμενα διορθωτέον.] ind. 41.

402. „ξεῖν', οὕτω γάρ κέν μοι ἐυκλείη τ' ἀρετή τε
εἴη ἐπ' ἀνθρώπους, ἅμα τ' αὐτίκα καὶ μετέπειτα,
ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,
αὖτις δὲ κτείναιμι, φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην."

†) ἐν δὲ τῷ „αὖτις δὲ κτείναιμι" περιττὸς ὁ σύνδεσμος ληφθεὶς συνήθως ἀντὶ τοῦ δή. Eust. 1765, 25. ind. 36.

491. „ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ,
οἷος ἐκεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι."

†) θαυμαστικόν. B. — ind. 15.

ΕΙΣ ΤΗΝ Ο.

24. „ἀλλὰ σύ γ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα.“

†) πίστευσον. εὐκτικὸν ἀντὶ προστακτικοῦ. BH. Ex Nicanoris libro haec fluxisse possunt cf. ω 491. ind. 9.

46. „ἔγρεο, Νεστορίδη Πεισίστρατε· μώνυχας ἵππους.“

*) εἰς τὸ „Πεισίστρατε“ ἡ στιγμή. H. [προσαγορευτικὴ γὰρ ἡ περίοδος]. ind. 16.

80. „εἰ δ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους.“

†) 81. ὅλαι ὑποστιγμαί. H. Simillimus locus est Z 150: εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς ἡμετέρην γενεήν. πολλοὶ δέ μιν ἄνδρες ἴσασιν. ἔστι πόλις Ἐφύρη —: Ad hunc Nicanor adnotavit: ὑποστικτέον εἰς τὸ „ἐθέλεις,“ ἵνα ᾖ τὸ „δαήμεναι“ ἀντὶ προστακτικοῦ τοῦ δάηθι. cf. ad Φ 487 FN. p. 28: ambigebatur enim utrum δαήμεναι pro δάηθι positum esset an proprie dictum. Illud praetulit Aristarchus et videtur praetulisse Nicanor, nam ad Z 150 hanc solam explicationem quasi solam ab eo profectam exhibet epitomator. — ind. 5. — Versus 78—85 ab Aristarcho expunctos Nicanor distinxit.

126. „μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,“

τὸ δὲ „πολυηράτου“ ἀμφιβολίαν ἔχει. ἄδηλον γὰρ εἴτε „πολυηράτου Ἑλένης“ ῥητέον, εἴτε „γάμου πολυηράτου.“ Eust. 1776, 59.

Tales amphibolias, quae fiunt per collocationem, ubi dubium est, quid quo referri oporteat, resolvit Nicanor distinctione sexcentis locis, ita ut veri simile sit etiam hoc loco scholium fuisse: βραχὺ διασταλτέον ἐπὶ τὸ „χειρῶν“ πρὸς τὸ σαφέστερον. ind. 46.

„ὧδε δέ οἱ προνέοντι δοάσσατο κέρδιον εἶναι·
205. στρέψ' ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.“

*) τὸ πλῆρες ἔστρεψεν, οὐ στρέψαι· ἀπ' ἄλλης γάρ ἀρχῆς ἐστιν. H. Cod. στρέψα corr. Friedlaender p. 27. ind. 2. 22.

277. „ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀίω.“

†) καὶ ὅρα τὸ κομματικὸν τῆς ἀξιώσεως, ἐναγωνίως προαχθέν, ὡς εἴ περ ἐπνευστία ὁ λέγων. δυσὶ γὰρ στίχοις ἔννοιαι τέσσαρες ἔγκεινται. ὧν αἱ δύο μὲν προτάσεις εἰσὶν, αἱ δε δύο κατασκευαὶ αὐτῶν. οὕτω δὲ καὶ ἡ ἀρχὴ τοῦ ἱστορικοῦ διηγήματος κομματικῶς προήχθη, συνεξομοιουμένη τῷ προσώπῳ περὶ οὗ τὸ διήγημα. ἔφη γὰρ οὕτω· „σχεδόθεν δέ οἱ ἤλθεν ἀνήρ, τηλεδαπός, φεύγων ἐξ Ἄργεος, ἄνδρα κατακτάς, μάντις. (v. 223). Eust. 1780, 35. ind. 25.

406. „εὔβοτος εὔμηλος, οἰνοπληθὴς πολύπυρος.
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται.“

*) ὑφ' ἓν ἀναγνωστέον ἕως τοῦ „πολύπυρος.“ διαστέλλεται τῷ „πείνη δ' οὔποτε.“ H. — ind. 51. — Eust. 1787, 26: τὸ δὲ „εὔβοτος“ καὶ ἑξῆς πάνυ ἐπαινεῖται τῆς γοργότητος, ἅπασαν ἀρετὴν χώρας περιέχον ἐν στίχῳ ἐνί. cf. Z 97.

ΕΙΣ ΤΗΝ Π.

23. „ἦλθες, Τηλέμαχε γλυκερὸν φάος;“

[ἦλθες, Τηλέμαχε.] †) ἐνταῦθα ἡ στιγμή, καὶ καθ' ἓν τὰ λοιπά. δύνανται μέντοι καὶ μεχρὶ τοῦ „φάος“ συνάπτεσθαι. H.

cf. FN. p. 38: Si integra sunt quae schol. Harl. tradit ad π 23, non a Nicanore profecta sunt. Nam si e pluribus vocativis nulla coniunctione inter se connexis consistit allocutio, in fine eius quidem non aliter ac post unum vocativum distinguitur, singula autem allocutionis membra minima distinctione inter se separari solent.“ Sic igitur Nicanoris verba restituenda sunt: προσαγορευτικὴ ἡ περίοδος· διὸ τελείαν στικτέον ἐπὶ τὸ „γλυκερὸν φάος.“ ἐπὶ δὲ τὸ „Τηλέμαχε“ βραχὺ διασταλτέον. ind. 16.

375. „ἀλλ' ἄγετε . . . .
383. ἀλλὰ φθέωμεν ἑλόντες.“

†) ἐπανέλαβε διὰ τοῦ „ἀλλὰ“ τὸν λόγον, ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. B. cf. FN. p. 79. β 119. δ 342. ind. 42.

431. „τοῦ νῦν οἶκον ἄτιμον· ἔδεις, μνάᾳ δὲ γυναῖκα
παῖδά τ' ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις.
ἀλλά σε παύσασθαι κέλομαι καὶ ἀνωγέμεν ἄλλους.“

ἐνταῦθα δὲ ὅρα καὶ πυκνότητα καὶ γοργότητα νοημάτων μετὰ κάλλους ἐν τῷ . . . . . . (sequuntur versus citati) τέσσαρες οὖν ἔννοιαι αὐτοτελεῖς δυσὶ στίχοις ἔγκεινται μετὰ παρίσων τριῶν τοῦ „ἔδεις," „κτείνεις," „ἀκαχίζεις" . . . . θυμοῦ δὲ συγκοπαὶ τὰ ῥηθέντα κόμματα. Eust. 1807, 34. Haec ex Nicanore derivata videntur esse. ind. 25.

ΕΙΣ ΤΗΝ Ρ.

160. vid. not. 11.

400. „δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε."

†) καὶ ὅρα τρεῖς ἐννοίας κομματικὰς ἐν τῷ στίχῳ τούτῳ. Eust. 1825, 40. Fluxit ex Nicanore, cuius verba sic fere refinge: παρατηρητέον ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον διακοπτόμενοι. διὸ στικτέον ἐπὶ τὸ „ἑλών," „φθονέω," „ἔγωγε." ind. 25.

479. „μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις."

†) καθ' ἑαυτὸ „οἷ' ἀγορεύεις," κατὰ ἔκπληξιν. H. ind. 15. v. 475—80 ab Aristarcho expunctos N. distinxit. ind. 52.

„εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί.
514. οἷ' ὅ γε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ."

†) θαυμαστικῶς διὰ μέσου ἀναπεφώνηται „οἷα ὅγε μυθεῖται." BHQ. ind. 15.

539. „εἰ δ' Ὀδυσσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν."

Hunc locum citat Nicanor ad Δ 186, ubi sic legitur: Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι. ἄμεινον δὲ ταυτολογίαν εἶναι ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ „ἔλθοι καὶ ἵκοιτο" (ρ 539).

ΕΙΣ ΤΗΝ Σ.

15. „δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν οὔτ' ἀγορεύω,
οὔτε τινὰ φθονέω δόμεναι καὶ πόλλ' ἀνελόντα.

---

not. 11. 160. „τοῖον ἐγὼν οἰωνὸν ἐυσσέλμου ἐπὶ νηός." θαυμαστικῶς. H, qui in lemmate habet οἷον ἐγώ ind. 15.

οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν. δοκέεις δέ μοι εἶναι ἀλήτης
ὥς περ ἐγών, ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε γέρων περ ἐὼν στῆθος καὶ χείλεα φύρσω
αἵματος. ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον. οὐ μὲν γάρ τι σ' ὑποστρέψεσθαι ὀίω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος."

τὸ δὲ „ἐπιτροχάδην" (v. 26) *παρατετηρημένως εἴρηται ἀντὶ τοῦ σπουδαίως καὶ κατ' ἐπιδρομήν. τοῦτο δὲ διὰ τὸ κομματικὸν τῶν ἐννοιῶν τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου. ἐν γὰρ στίχοις δέκα ἔννοιαι κεῖνται ὑπὲρ τὰς δέκα. θυμὸν γοῦν πλαγίως ὀνειδίζει τῷ Ὀδυσσεῖ, ὡς οἷα δι' ὀργὴν λαλοῦντι κομματικῶς.* Eust. 1835, 36. Haec Nicanoreae adnotationis frustula esse apparet ex scholio ad *I* 375: *παρατηρητέον ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον διακοπτόμενοι. ἡ γὰρ ὀργὴ μᾶλλον παρίσταται διὰ τοῦ τοιούτου. ἐν γοῦν τοῖς τέσσαρσι στίχοις ἐφεξῆς ὀκτώ εἰσιν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαί, ἀπὸ τοῦ „ἐκ γάρ δή μ'" ἕως τοῦ „ἐν καρὸς αἴσῃ."* ind. 25.

143. *„οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας."*

†) *θαυμαστικῶς τὸ „οἷα." ἠρέμα ταῦτα πρὸς τὸν Ἀμφίνομόν φησι.* Q. — ind. 15. — Eust. 1841, 4: *καί φησι θαυμαστικῶς ἐν ἀσυνδέτῳ σχήματι.*

221. *„οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη."*

†) *θαυμαστικῶς τὸ „οἷον δή"* B. — ind. 15. — Eust. 1844, 13: *ἐπάγει οὖν θαυμαστικῶς καὶ θυμικῶς „οἷον δὴ τόδε ἔργον" κ. τ. λ.*

223. *„πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν*
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς;
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο."

†) *τὸ ἑξῆς πῶς εἰς τὸ μετέπειτά σοι αἶσχος λώβη τε πέλοιτο, εἴ τι ὁ ξεῖνος πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς; τὸ γὰρ „νῦν" μέλλοντός ἐστι χρόνου, τὸ δὲ „πῶς" θαυμαστικὸν μετὰ ἤθους.* BHQ. *ἐν μεταξυλογίαις θαυμαστικῶς καὶ τοιοῦτος ὁ στίχος* . . H. — ind. 41.

Aliter Eust. 1844, 46: τὸ δὲ „πῶς νῦν;“ πάνυ ἐλλιπῶς καὶ οὕτω γοργῶς ἠρώτηται. οὐ γὰρ ἀφῆκεν ὁ θυμὸς ἐντελῆ γενέσθαι τὴν πεῦσιν.

297. „ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν.“

†) εἰς τὸ „δύω“ ὑποστικτέον. δύο γὰρ „ἕρματα.“ BH. ind. 46. Corr. ἐπὶ τὸ „δύω“ βραχὺ διασταλτέον. cf. ad α 40. Eust. 1847, 40: ἐν δὲ τῷ „ἕρματα δύο θεράποντες ἔνεικαν“ ἀμφίβολον μέν, εἴτε ἕρματα δύο, εἴτε θεράποντες δύο. δοκεῖ δὲ κρεῖττον συντάξαι ἕρματα δύο.

ΕΙΣ ΤΗΝ Τ.

71. „δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροὶ εἵματα εἷμαι,
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.“

†) ἐν οἷς ὅρα τὸ θυμικῶς ἐνδιάθετον τοῦ Ὀδυσσέως ἐν τῷ καὶ κομματικῶς καὶ ἀσυνδέτως λαλῆσαι. Eust. 1855, 54. Cum solutam orationem maxime convenire animi permotionibus saepius Nicanor adnotaverit — cf. FN. p. 49 — consentaneum est etiam hoc loco simile scholion fuisse ut ad *I* 375, cuius vestigia Eust. servavit. ind. 25.

303. „ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος
305. ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.“

Videtur scholium fuisse de ὅτι vel ὡς particula omissa ante ἦ μέν τοι τάδε. cf. ad *O* 40: .... πληρέστατος δ' ἂν ἦν ὁ λόγος, εἰ καὶ σύνδεσμος ἔκειτο ὁ ὅτι ἢ ὡς. καὶ συνήπτετο ἂν τοῖς ἐπάνω, ἵν' ᾖ τοιαύτη ἡ φράσις, ἴστω γῆ καὶ οὔρανος ὅτι μὴ δι' ἐμὴν γνώμην. ἀλλὰ σπανίως τὰ τοιαῦτα λείπει, καὶ σχεδὸν ἐπὶ μόνων τῶν ὅρκων, ὡς κἀκεῖ „ἴστω νῦν Ζεὺς πρῶτα — ἦ μέντοι τάδε πάντα τελείεται“ — τ 303. — τάχα οὖν καὶ διὰ τοῦτο συναπτέον αὐτὰ τοῖς ἐπάνω, ἐπεὶ συνήθης ἐστὶ τῶν ὅρκων ἡ ἔλλειψις.

ΕΙΣ ΤΗΝ Υ.

66. vid. not. 12.

ΕΙΣ ΤΗΝ Φ.

175. „ὣς φάτο, καὶ ῥ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν ἄγρει δή, πῦρ κῆον."

Nicanorem post αἰγῶν distinxisse apparet ex adnotatione ad Ψ 805, ubi legitur: συναπτέον πάντα μέχρι τοῦ „χαλκὸν ἑλόντε," οὐ λείποντος τοῦ μάχεσθαι ἤ τινος τοιούτου. καὶ γὰρ μόνον αὐτὸ τὸ κελεύειν εἴωθε τιθέναι καθ' ἑαυτὸ ὁ ποιητής, ὡς ἐν Ὀδυσσείᾳ — φ 175 — „Ἀντίνοος δ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν" καὶ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ — Ω 90 — „τίπτε με κεῖνος ἄνωγε μέγας θεός; — Nicanorem memoria fefellit in versu ex Odyssea afferendo. Est quidem Antinous, qui loquitur, sed versus sic sonat: „ὣς φάτο. καὶ ῥ' ἐκέλευσε." FN. p. 271.

ΕΙΣ ΤΗΝ Χ.

217. „ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς."

†) ἔτι κεῖται ἐν τούτοις καὶ ἀποστατικὸν σχῆμα κατὰ λόγον θάμβους τὸ „οἷα μενοινᾷς ἔρδειν ἐν μεγάροισιν," ὅμοιον ὂν τῷ „οἷα μ' ἔοργας" καὶ τοῖς τοιούτοις. Eust. 1925, 29. ind. 15.

391. „Τηλέμαχ', εἰ δ' ἄγε μοι κάλεσον τροφόν."

†) ὅτι καὶ ἐνταῦθα ἐν ἀρχῇ λόγου κεῖται ἀναντιρρήτως τὸ „εἰ δ' ἄγε ἀντὶ τοῦ εἷα ἄγε. φησὶ γὰρ „εἰ δ' ἄγε μοι κάλεσον τροφόν. Eust. 1931, 54. Frustula sunt adnotationis Nicanoreae. ind. 10.

---

not. 12. 66. „ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι."

καὶ τοῦτο συναπτέον τοῖς ἐπάνω „ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα οἴχοιτο προφέρουσα, ὡς ὅτε Πανδάρεω κούρας." BQ.

FN. p. 22. monet necesse esse qui hoc scholium scripserit non ὡς δ' ὅτε Πανδαρέου κούρας ut nos, sed ὡς ὅτε legerit. cf. ad Ξ 147. Eust. 1883, 35: ὅρα δὲ ὡς ἡ ῥηθεῖσα παραβολὴ σχοινοτενῶς ἐσχημάτισται· μετὰ τρεισκαίδεκα γὰρ στίχους ἀποδέδοται.

ΕΙΣ ΤΗΝ Ψ.

„ἦλθ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
28. ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισιν."

*) στικτέον μετὰ τοῦτο [ὁ ξεῖνος]. V. Vind. 56. ind. 13. 218. vid. not. 13.

---

not. 13. 218. „οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
ἀνδρὶ παρ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ ᾔδη ὅ μιν αὖτις ἀρήιοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἰκόνδε φίλην ἐς πατρίδ' ἔμελλον.
τὴν δ' ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές.
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος."

ἀθετοῦνται οἱ ζ'* ὡς σκάζοντες κατὰ τὸν νοῦν. σώζοιντο** δ' ἄν, εἰ στίζοιμεν ἐπὶ τῷ „εἰ ᾔδη." καὶ τὸ „ὅ" ἀντὶ τοῦ διὸ (Dind. δι ὅως) εἶναι, οὐδ' ἂν ἡ Ἑλένη ἐμίγη παρὰ ἀλλοδαπῷ ἀνδρί, εἰ μὴ ἦν ἐξηπατημένη. διὸ αὐτήν, ἐπεὶ παρελογίσθη, οἱ Ἕλληνες ἐπανήγαγον. οἱ δέ φασι τὸν Ἀλέξανδρον Μενελάῳ εἰκασθέντα γνώμῃ Ἀφροδίτης μιγῆναι τῇ Ἑλένῃ. V.

*) οἱ ζ' Barnes. ex cod. pro οἱ ιζ'. — schol. M. Vind. 133 habent ἀθετοῦνται οἱ ἑπτὰ στίχοι. **) σώζοιντο Buttm. pro σώζοιτο. ad v. 220 εἰ ᾔδη legitur in V: ἐνταῦθα στικτέον, ἔπειτα ἀφ' ἑτέρας ἀρχῆς προενεκτέον. Eust. 1946, 4: τὸ δὲ „οὐδ' ἂν Ἀργείη Ἑλένη ἀνδρὶ ἀλλοδαπῷ ἐμίγη, εἰ ᾔδη, ὅ μιν αὖτις Ἀχαιοὶ ἐπαναγαγεῖν ἔμελλον οἴκαδε, τοιοῦτον ἔχει νοῦν τελείας τιθεμένης στιγμῆς ἐν τῷ „εἰ ᾔδη." οὐκ ἄν φησιν οὐδὲ ἡ Ἑλένη παρ' ἀνδρὶ ἀλλοδαπῷ ἐγένετο, εἴ περ ἠπίστατο αὐτὸ δὴ τοῦτο τὸ παρ' ἐμοῦ λεχθὲν γνωμικόν, τὸ „πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν ἤτοι βουλεύονται ἀπατητικῶς. διό φησιν ἔμελλον οἱ Ἀχαιοὶ ἄξειν αὐτὴν οἴκαδε ὡς ἀπατηθεῖσαν καὶ μεταμελομένην, καθὰ δηλοῖ τὸ „τίσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε," κείμενον ἐν Ἰλιάδι. καί φασιν οἱ παλαιοὶ περὶ τῆς ῥηθείσης ἀπάτης, ἣν ἔπαθεν ἡ Ἑλένη, ὅτι Ἀφροδίτη Μενελάῳ τὸν Ἀλέξανδρον εἰκάσασα παρήγαγεν ἤτοι ἠπάτησε τὴν Ἑλένην, παραλογισαμένη τῇ ὁμοιότητι, ὡς εὐλόγως λοιπὸν καὶ τὴν Πηνελόπην δεδοικέναι μὴ πάθοι τι ὅμοιον. καὶ οὕτω μέν τινες καλῶς τὸ ῥηθὲν ἡρμήνευσαν νόημα. ἕτεροι δὲ τὴν ῥηθεῖσαν στιγμὴν ἀπάγοντες καὶ συνάπτοντες τὸ ὅλον εἰς νόημα ἓν λέγουσι μὲν ὅτι οὐκ ἂν ἡ Ἑλένη ἐμίγη ἀλλοδαπῷ, εἴ περ ᾔδη ὅτι αὐτὴν ἐπανάξειν οἱ Ἀχαιοὶ ἔμελλον· κρίνονται δὲ μεμπτέοι τοῖς παλαιοῖς διὰ τὸ κακοσυμβίβαστον τῆς ἐννοίας· ἀδιανόητον γὰρ τὸ λέγειν τὴν Πηνελόπην ὡς ἐδεδίειν μή πως ἀπατηθῶ. οὐδὲ γὰρ ἡ Ἑλένη συναπῆλθεν ἂν τῷ ἐκ Τροίας μείρακι, ἐὰν ἐγίνωσκεν ὅτι ἐπανακομισθήσεται εἰς τὴν πατρίδα. λέγοι γὰρ ἄν, ὅτι οὐ πόθῳ τοῦ ἀνδρὸς ἀλλὰ φόβῳ τοῦ ἐπανακάμψαι εἰς αὐτὸν ἐπεῖχον τὸν γάμον. ἴσως δὲ καὶ οὕτω πως καθίσταται τὰ τῆς ἐννοίας ταύτης. ἐδεδίειν, φησί, τὴν ἀπάτην, μεθ' ἣν ἀνάγκη πάντως ἦν ἐπανασωθῆναί με ζῶντι τῷ κουριδίῳ ἀνδρί. ὃ δὴ νόημα εἴ περ ἔσχε καὶ ἡ Ἑλένη, οὐκ ἂν ἡρπάγη. —

Herodianus hunc locum sic explicavit: Ἡρωδιανὸς τὸν εἰ ἀντὶ τοῦ ἐπεί φησιν εἶναι, καὶ συνάπτει ὅλον τὸν νοῦν οὕτως· εἰ μὴ ἠπατήθη ἡ

ΕΙΣ ΤΗΝ Ω.

85. „μήτηρ δ' αἰτήσασα θεοὺς περικαλλέ' ἄεθλα θῆκε μέσῳ."

†) τινὲς (δὲ) ὑποστίζουσιν εἰς τὸ „θεούς." H. ind. 47ᵇ et α 70: corr. βραχὺ διασταλτέον ἐπὶ τὸ „θεούς."

116. „ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέῳ Μενελάῳ,"

Ex Eust. adnotatione 1956, 36: τὸ δὲ „σὺν Μενελάῳ" σχῆμά τι ἀμφιβολίας ἐμφαῖνον λέγει ὅμως οὐχ ὅτι καὶ τὸν Μενέλαον ὤτρυνεν εἰς μάχην ὁ βασιλεύς, ἀλλ' ὅτι κατῆλθεν εἰς Ἰθάκην σὺν Μενελάῳ, ἢ καὶ ὅτι καὶ αὐτὸς καὶ ὁ Μενέλαος τὸν Ὀδυσσέα ὤτρυνον. — poteris colligere Nicanoris scholium fuisse: βραχὺ διασταλτέον ἐπὶ τὸ „Ὀδυσῆα" πρὸς τὸ σαφέστερον. ind. 46.

205. „οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο."

*) ὑποστικτέον μετὰ τοῦτο (post κατέβαν). V. cf. Ω 330. ind. 39. —

227. vid. not. 14.

491. „ἐξελθών τις ἴδοι μὴ δὴ σχεδὸν ὦσι κιόντες."

Optativum hoc loco esse pro imperativo dicit Nicanor ad Ι 45: . . . . εἴρηται γὰρ ὡς ὁ εἰ σύνδεσμος ἔχει τινὰ δύναμιν παρακελευστικήν, ὡς ἐκεῖ „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Ω 74) τοῦ εὐκτικοῦ ἀντὶ προστακτικοῦ κειμένου, ὡς κἀκεῖ „ἐξελθών τις ἴδοι — ω 491 — ἀντὶ τοῦ ἰδέτω. ἀπρεπὲς γὰρ εὔχεσθαι τὸν Δία. cf. ad ο 24. ind. 9.

512. „οὔτι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις."

οἷ' ἀγορεύεις, ἤγουν εἰς ἃ λέγεις, ἢ μᾶλλον λυπηρῶς κατὰ θυμικὸν ἀποστατικὸν σχῆμα οἷα δὴ λαλεῖς, τουτέστι, πῶς ποτε τοιαῦτα λέγεις; ὃ καὶ μᾶλλον κρεῖττον ὡς Ὁμηρικόν. Eust. 1969, 1. ind. 15.

Ἑλένη ὑπὸ τῆς Ἀφροδίτης, οὐκ ἂν ἄλλῳ ἠκολούθησεν ἀνδρί. καὶ πόθεν δῆλον ὅτι δι' ἀπάτην ἠκολούθησε καὶ οὐχ ἑκουσίως; ἐπειδὴ ἤδη μάλιστα ὅτι οὐκ ἔχει καταφρονηθῆναι τοῖς Ἕλλησιν ἡ αὐτῆς ἁρπαγή. Q. Vind. 56. cf. Lentz, Herod. ad h. l.

not. 14. 227. „ῥυπόωντα δὲ ἕστο χιτῶνα ῥαπτὸν ἀεικέλιον."

τὸ δὲ „ῥαπτὸν ἀεικέλιον" ὑφὲν ἀναγνωστέον, ἵνα δηλοῖ τὸν ἀεικελίως ῥαπτόν. Eust. 1959, 50. Fluxit fortasse ex Nicanore cf. FN. p. 99. ind. 51.

ADDENDA.

p. 20 l. 10 post δ 724* adde ζ 287*. η 255*. ο 80. ρ 479.

Halle, Buchdruckerei des Waisenhauses.